1. ειχεν οὖν V: ειχεν δε P², εχων ουν B (nur m¹ και υιον εχων) m³ | ευμ. πανυ m³ V (+ ωραιον, vielleicht aus folgendem ως entstanden): ευμ. B, > P² | οκτωκ. ετ. υπ. V: δεκα και οκτω υπ. ετων P², ως ετ. οκτωκ. (oder δεκαοκτω) B | 2. παρετηρειτο V c m² v: παρετηρει (oder —ρη) P² m¹ m³ | επιβ. V: η × P²B m³ | αυτη hier VB m³: vor η επιβ. P² | 3. εγενετο VP²: εγινετο c m² v, γινεται m¹ m³ | λουεσθαι V: λουσασθαι P², εισερχεσθαι B (c m¹ + τοτε) | εν αυτω V: εν τω λουτρω oder βαλανειω BP² (+ τουτω) m³ | αλλ' — μονον V: . . . αυτος καθ' ε. μονος ελουετο B, > P² | 4. αμα — ανθρ. VB (c m¹ v > δε, die Angaben über m² m³ sind unverständlich): > P²; die Worte οτι ενηχων αυτους, die nur V hinter ανθρωπων hat, sind kaum erträglich, auch wenn man liest οτι ενηχον αυτου „weil sie daselbst schwammen“ | 5. παντα — ετυχεν VP², ähnlich m³ (> παντα und hat βαλανειου u. ελαχε): τρεις μηνας (ημερας v, τριμηνον m²) εν τω εργω (εις το εργον m², εις τα εργα v) του βαλανειου ελαχε (ετυχε m¹) B | 7. εχων το B: εχον το V, εχοντος P² | 8. ασχολ. — αναψυξαι V: > P²B (m² v > auch ομοιως — αυτου) m³ L | 9. ορμησας V: και × P² m³ v, και εξαιφνης × m², ο ουν ακαθαρτος δαιμων ορμησας (ευθυς επελθων τω νεανισκω m¹) c m¹ | ακαθαρτος > nur V | 10. κ. ευρων αυ. μ. V: > die andern | τον νεανιαν V c m² m³ v: αυτον P² m¹ | τον υ. Δ. V c (του Δ. υ.): > P² m¹ m² m³ v | 11. εξεπηδ. — αυτου V m³ (δε): οι ουν π. αυ. εξεπιδησαν εξω P², εκπηδησαντες δε (ουν m¹) οι π. αυ. c m¹, εισελθοντες δε οι παιδες και ευροντες αυτον τεθνηκοτα εξεπηδησαν m², was obigen Text l. 8 sq. voraussetzt; v geht von νεανιαν l. 10 sofort zu ακουσασα l. 13 über | 12. οδυρ. — θρηνουντες V: > die andern | ελεγον V: λεγοντες P² m² m³, απηγγειλαν τη Ρωμανα c m¹ | 13. ουαι ημιν VP² L: > m² m³, auch die folgende Rede > c m¹ v | ημων V m² m³ L: Δομνος + P² | ετι nur V; die ganze Frage hat nur P² vor ο κυριος | 14. ταυτα hier V: vor η Ρ. P², > m² m³ v, η δε ταυτα ακ. c m¹ | επι της κ. V: εν τη κ. c m¹, της κ. P² m² m³ v | ριψασα VP² m³: ερριψεν B

ἐπὶ τὴν γῆν καὶ τῶν ἰδίων τριχῶν ἐπιλαβομένη μετὰ κλαυθμοῦ καὶ ὀδυρμοῦ πικροτάτου ἤρξατο λέγειν· οἴμοι, τί εἴπω ἡ ταλαίπωρος ἐγὼ τῷ ἐμῷ κυρίῳ Διοσκορίδῃ; ἀλλὰ γὰρ καὶ αὐτὸς ἀκούσας παραχρῆμα τελευτήσει, ὅτι μονογενὴς ὁ κύριός μου Δόμνος ἦν αὐτῷ. ἡ μεγάλη Ἄρτεμις Ἐφεσίων βοήθει· δεῖξόν σου τὴν δύναμιν ἐπὶ νεανίσκῳ τεθνηκότι. οἴδαμεν γὰρ πάντες οἱ Ἐφέσιοι, ἄνδρες τε καὶ γυναῖκες, ὅτι διὰ σοῦ κυβερνῶνται τὰ πάντα, καὶ δυνάμεις μεγάλαι διὰ σοῦ γίνονται ἐν ἡμῖν. δὸς δὴ τῇ δούλῃ σου, τί ποιήσει περὶ τούτου· ἀνάστησον τὸν δοῦλόν σου Δόμνον. πιστοποίησον πάντας τοὺς ἐλπίζοντας ἐπὶ σέ, ὅτι σὺ εἶ καὶ οὐκ ἦν ἕτερος πλὴν σοῦ. νεκρὸν ἔγειρον νεανίαν καὶ παράστησον τῷ πατρὶ αὐτοῦ ζῶντα. ταῦτα λέγουσα κατέτεμε τοὺς βραχίονας αὐτῆς καὶ διέτιλεν τὰς τρίχας ἀπὸ τῆς κεφαλῆς αὐτῆς ἀπὸ ὥρας πρώτης ἕως ὥρας ἐνάτης. καὶ οὐκ ἦν ζωὴ πρὸς τὸν νεκρὸν, οὐκ ἦν θεραπεία πρὸς τὸ γύναιον· ἀλλὰ συναγόμενος ὄχλος πολύς, οἱ μὲν ἐπένθουν ἐπὶ τὸν νεανίσκον, οἱ δὲ ἐθαύμαζον τὸ πένθος τῆς Ῥωμάνας περὶ τοῦ Δόμνου.

1. *την γ.* V m^2: *της γης* P^2 c m^1 m^3 v | 2. *πικροτατου* P^2 B: > V, *cum eiulatu maximo* L | *ειπω* VP^2: *αποκριθησομαι* m^2 m^3 v, *απολογησομαι* c m^1 | 3. *γαρ* V m^2: *γε* P^2 c m^1 v, *και γαρ* (ohne *αλλα* u. folgendes *και*) m^3 | 5. *ην αυτω* VP^2: *αυτω υπηρχεν* vor *ο. κ.* c m^1 v, ebenda *αυτω ετυγχανεν* m^3 | *Εφεσ.* V v: *των* × P^2 c m^1 m^2 m^3 | *δειξον* V c m^2 m^3 v: *και* × P^2, *νυν* × m^1 | 6. *σου* hier V: hinter *δυν.* P^2B | *παντες — γυναικες* V cf L: *πασαι αι Εφεσιων γυν.* P^2 m^3 (dieser + *και παντες οι Εφεσιων ανδρες*), *παντες οι την Εφεσον οικουντες* (*κατοικουντες* v) B | 7. *κυβερνωνται* P^2 c (zweites ν übergeschrieben) m^1 m^2 v: *κυβερναται* m^3, *κυβερνηται* V | 8. *εν ημιν* VP^2: > B L | 9. *δη* P^2 m^3: > V, den Satz > B, *nunc ausculta ancillae tuae* L | *τι ποιησει* (*ποιησω* P^2) *περι* (*υπερ γαρ* m^3) *τουτου* VP^2 m^3: > B L | 10. *πιστοποιησον — ζωντα* l. 12 V: *πιστοπ. παντας οτι γεινονται δυναμεις δια σου· νεκρον εγειρον νεανιαν· παραστησον τω πατρι αυτου ζωντα. πιστοποιησον παντας οτι συ ει και ουκ εστιν πλην σου* P^2; zu Anfang geht m^3 mehr mit V, nachher mit P^2, cf auch L; nur (*και*) *παραστησον τουτον* (*αυτον* c m^2, > v) *τω πατρι αυτου ζωντα* B | 12. *ταυτα λεγ.* V B (+ *και τουτων* oder *τα τουτων πλειονα*): nur *και* P^2 m^3 | 13. *κατετεμε* V: *κατετεμνε* (oder *—νεν*) P^2 m^3 B | *διετιλεν* VP^2 (beide *διετειλεν*): *ετιλε* m^3, *ετιλλε* v, *διετιλλε* c, *διετιλλετο* m^2, ganz anders m^1 | *απο* V: > P^2 m^3 B | 14. *πρωτης* V m^3: *τριτης* P^2BL | *και ουκ — γυναιον* VP^2 m^3 (*τω νενεκρωμενω και . . . τω γυναιω*) cf L: > B | 16. *αλλα κτλ.* V: *αλλ' ο οχλος πολυς συναγομενος* P^2 m^3, *οχλος δε π. συνηχθη* v, *συνηχθη δε και ο. π.* c m^1 m^2 | *οι μεν* V m^3: *και* × P^2B | 17. *τον νεανισκον* VP^2 (*νεανιαν*) m^2 m^3: *τω νεανισκω* c m^1 v | *περι του Δ.* V: > P^2B m^3 L

Ὁ δὲ Ἰωάννης παραγενόμενος ἀπὸ τοῦ ἰδίου ἔργου ἐλθὼν πρός με εἶπέν μοι· τέκνον Πρόχορε, τί ἐστιν τὸ θρηνούμενον ὑπὸ τοῦ γυναίου; μήπω δέ μου φθάσαντος ἀποκριθῆναι αὐτῷ, ἐλθούσης τῆς Ῥωμάνας, ὡς εἶδεν ἡμᾶς ὁμιλοῦντας ἀλλήλοις, δραμοῦσα ἐκράτησεν τὸν Ἰωάννην καὶ λέγει αὐτῷ· μάγε καὶ ἐπιθέτα, εὑρέθησάν σου αἱ μαγεῖαι ἃς ἐποίησας ἐν τῷ οἴκῳ μου· ἀφ᾽ ἧς γὰρ ἡμέρας εἰσῆλθες πρός με, καὶ ἡ ἡμετέρα θεὰ ἐγκατέλιπέν με. ἢ ἀνάστησον τὸν υἱὸν τοῦ κυρίου μου Διοσκορίδους, ἢ τὴν ψυχήν σου ἀπὸ τοῦ σώματός σου τῇ ὥρᾳ ταύτῃ κουφίζω. εἶπεν δὲ πρὸς αὐτὴν ὁ Ἰωάννης· τί τὸ ἐπελθόν σοι πένθος, ἀνάγγειλόν μοι. ἡ δὲ ὀργῇ μεγάλῃ φερομένη κουφίζει τὴν χεῖρα αὐτῆς καὶ ῥαπίζει αὐτὸν κακῶς, ἅμα καὶ ἐπιλέγουσα αὐτῷ οὕτως· δοῦλε κακέ, ἐξορίσιμε καὶ ἀχρήσιμε τοῦ ζῆν, πᾶσα ἡ πόλις Ἐφεσίων ἔγνωσαν τὸ γινόμενον, καὶ ἦλθες σὺ ἐπιγελῶν μοι καὶ ἐπιχαίρων καὶ λέγων μὴ γινώσκειν, τί ἐστιν. ὁ υἱὸς τοῦ κυρίου μου Διοσκορίδους τέθνηκεν ἐν τῷ βαλανείῳ. ἀκούσας δὲ Ἰωάννης καὶ περιχαρὴς γενόμενος ἀνεχώρησεν ἀπ᾽ αὐτῆς· εἰσεπήδησεν δὲ ἐν τῷ βαλανείῳ καὶ ἐξορίζει

1. *εργου* VP^2B (*εργου αυτου*): + *ου επιστευθη παρα της Ρωμανας* m^3 | 2. *θρηνουμενον* V m^3: *θρυλλουμενον* P^2BL *(quid de hac re dicitur)* | 4. *ελθ. τ. Ρ.* VP^2: *και ευθυς η Ρ.* m^3, *η Ρ.* hinter *ημας* B | *αλληλοις* V c m^1 m^3 v: *προς αλληλους* m^2, > P^2 | 5. *και λεγει αυτω* V m^3 (*προς αυτον*): *λεγουσα αυτω* B, *και λεγει πρ. αυτον μετα δαρμου και απειλης* P^2 | *και επιθετα* nur V: *fugitive deprehense* L | 6. *εν τω οι. μου* nur V | 7. *γαρ* VB: > P^2 m^3 L | *και η* VB m^3: *οτι* × P^2 | *θεα* P^2B m^3 cf L: *θλιψης* V | 8. *με* (*μοι* V): + *λεγεις δε και Χριστιανον σε ειναι* m^2, so auch p | 10 *κουφιζω* V m^2 m^3: *χωριζω* P^2 c m^1 v | *ο* vor *Ιω.* > V | *τι* VB m^3: *και* × P^2, *κυρια* × p | *επελθον* VP^2: *επαγον* B, *γενομενον* m^3 | 12. *ραπιζει — επιλεγουσα* VP^2 m^2 v: *ερραπισε τον Ιω. ειπουσα αυτω* c m^1; wie m^3? | 13. *αυτω ουτως* V: *ταυτα* P^2, *αυτω* B | *εξορισιμε* VP^2: *εξορισημαιε* m^3, > B | *κ. αχρ. τ. ζην* nur V: *serve nequam ad escam promptus et piger ad opus* L | 14. *πασα η π. Εφ.* V p: *πασαι αι Εφεσιων γυναικες* P^2 m^3, *παντες οι την Εφεσον οικουντες* B cf L | *γινομ.* VP^2: *γενομ.* B m^3 L | 15. *επιγελων* P^2 m^1 m^2 L *(ut me irrideres)*: *επαγγελων* c v, *επιλεγουσα* V, den Satz > m^3 | *μοι* P^2: *με* m^2 cf L, > V c m^1 m^3 v | *κ. επιχαιρων* P^2 v: *κ. χαιρων* c m^1 m^2, *και χαιρεις* V | *κ. λεγων* P^2 c m^1 m^2: *κ. επιλεγων* v, > V | *γινωσκειν* P^2: *γινωσκεις* V, *ειδεναι* B | 16 *ο υιος — βαλανειω* VP^2: *αγνοεις* × m^3, *ουκ οιδας οτι* × B | 17. *ακουσας — γενομ.* VB (*ο Ιω.*) m^3: *ταυτα ακ. ο Ιω.* P^2 | *ανεχ. — δε* V: *μικρον εξ αυτης ανεχ. και εισεπ.* P^2, *μικρον υπαναχωρησας απ᾽ αυτης εισεπ.* B | 18. *εξοριζει* VP^2 (+ *μεν*): *προσευξαμενος εξοικιζει* B, *εξοικησας* m^3

τὸν ἀκάθαρτον δαίμονα καὶ εἰσοικίζει τὴν ψυχὴν τοῦ νεανίσκου, καὶ ἐπιλαβόμενος τῆς χειρὸς αὐτοῦ ἐξήγαγεν αὐτὸν ζῶντα καὶ εἶπεν πρὸς Ῥωμάναν· λαβὲ τὸν υἱὸν τοῦ κυρίου σου. ἰδοῦσα δὲ ἡ Ῥωμάνα, ἐξέστη τὸ πνεῦμα αὐτῆς, καὶ φόβος καὶ τρόμος ἔπεσεν ἐπ᾽ αὐτὴν καὶ οὐκέτι μνήμην εἶχεν περὶ τοῦ θανάτου τοῦ Δόμνου, ἀλλ᾽ ἐπὶ τῷ σημείῳ ὃ ἐποίησεν Ἰωάννης ἐξέστη καὶ ἀπεπάγη ἡ καρδία αὐτῆς καὶ ἔμεινεν ὡσεὶ λίθος νεκρά. εἶτα μετὰ δύο ὥρας εἰς ἑαυτὴν ἐλθοῦσα οὐκ ἠτένιζεν εἰς τὸ πρόσωπον Ἰωάννου, ἀλλ᾽ αἰσχύνη πολλὴ ἔλαβεν αὐτήν, τοῦτο λογιζομένη· πῶς βλέψω εἰς τὸ πρόσωπον τοῦ ἀνδρὸς τούτου, ὅτι δοῦλός μου οὐκ ἦν καὶ κατεψευσάμην αὐτοῦ· αἴτιος πληγῶν οὐκ ἦν, καὶ ἐγὼ ἔτυψα αὐτόν. τί ποιήσω; θάνατε, σὲ προσκαλοῦμαι πατέρα μου εἶναι. θεωρήσας δὲ ὁ Ἰωάννης τὸ πρόσωπον τοῦ γυναίου, ὅτι μέλλει καταπίπτειν ἐπὶ τὴν γῆν καὶ τελευτᾶν, λαβόμενος τῆς χειρὸς αὐτῆς καὶ σφραγίσας αὐτὴν τρίτον, μετέσχεν καταστάσεως καὶ πεσοῦσα εἰς τοὺς πόδας αὐτοῦ κλαίουσα καὶ ὀδυρομένη εἶπεν αὐτῷ· δέομαί σου, ἀνάγγειλόν μοι, τίς εἶ σύ; πάντως γὰρ εἶ θεὸς ἢ υἱὸς θεοῦ, καὶ διὰ τοῦτο δυνάμεις τοιαύτας ποιεῖς. ὁ δὲ Ἰωάννης εἶπεν αὐτῇ· οὔτε θεός εἰμι, οὔτε τοῦ θεοῦ υἱός, ἀλλ᾽ ἐγώ εἰμι Ἰωάννης ὁ μαθητὴς Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ τοῦ θεοῦ, ὁ ἀναπεσὼν εἰς τὸ στῆθος αὐτοῦ καὶ ἀκούσας μυστήρια θεῖα παρ᾽ αὐτοῦ, ἃ ἀναγγελῶ σοι· καὶ ἐὰν πιστεύσῃς εἰς αὐτόν, ἔσῃ αὐτοῦ δούλη ὡς κἀγὼ δοῦλος αὐτοῦ

1. *κ. εισοικ.* VB (über m^2 berichtet Amphil. unglaubliches): *εισοικ. δε* P^2, *και εισοικησας* m^3 | 2. *επιλαβ. — Ρωμ.* V: *λαβων αυτον της χειρος εξηγαγεν ζωντα κτλ.* P^2, *λαβ. αυτον* (*αυτου* m^1) *της* (*απο της* m^2 m^3) *χειρος εξηλθε* (*—θες* m^3, *συν αυτω* + m^1) *και ειπεν* (*λεγει* c m^1) *προς Ρωμαναν* B m^3 | 3. Mit *ιδουσα* beginnt die in der Beilage B I mitgetheilte Probe der Recension B, aus welcher ich von hier an nur aushebe, was zur Entscheidung über die Varianten des ursprünglichen Textes dient | 4. *εξεστη* VL: × *το γεγονος* P^2B m^3 | 5. *επεσεν επ᾽ αυτην* V: *ελαβεν αυτην* P^3B m^3, *επελαβετο αυτη* P^2 | *του θ. του Δ.* VBP^3 (*θαν. Δ.*): *τον του Δ. θανατον* P^2 | 6. *τω σημ.* VB: *το σημ.* P^3 m^3, *το παραδοξον σημ.* P^2 | *εξεστη* P^3 m^3 B: *ουν* + V, *και* × P^2 | 7. *ωσει λιθος* hier V: hinter *αυτης* P^2 P^3 m^3 | 8. *ειτα — ελθουσα* P^2 m^3 P^3 (*ελθ. εις εαυτην*) cf. L B: nur *και* V | 9. *αυτην* VP^2: *το προσωπον αυτης* P^3 m^3 | 10. *βλεψω* V: *εμβλεψω* P^2 B m^3 | 11. *αιτιος* V m^3: *οτι* × P^2 | 12. *εγω ετ. αυ.* V: *ετ. αυ. αφειδως* P^2, *ετυπτησα αυ.* m^3 | *προσκ.* VB m^3: *επικαλουμαι* P^2 | 13: *ο* V m^3: $>$ P^2 | 14. *του γυναιου* VP^2: *αυτης* m^3 | 15. *μετεσχεν* VP^2: *μετεδωκε* m^3 | 16. *πεσουσα* VBL m^3: *επι προσωπον* + P^2 | 17. *ει συ*: *εισι* V | 18. *δυν. τοιαυτας* VB m^3: *τας δυν. ταυτας* P^2 | 20. *υιος* hier V: vor *του θ.* P^2B | *Ιω.* VB m^3: *ο* × P^2 | 23. *δουλος αυ. ειμι* VBL m^3: $>$ P^2

εἰμι. ἡ δὲ Ῥωμάνα μετὰ αἰσχύνης πολλῆς καὶ φόβου καὶ τρόμου εἶπεν τῷ Ἰωάννῃ· πρῶτον ἄνθρωπε τοῦ θεοῦ συγχώρησον ὃ ἠσέβησα πρός σε περί τε τῶν πληγῶν καὶ τῶν ὕβρεων, ἔτι καὶ περὶ τῆς ψευδομαρτυρίας ἧς ἐψευσάμην ὅτι δοῦλοί μου ἐστέ. ὁ δὲ Ἰωάννης εἶπεν πρὸς αὐτήν· πίστευσον εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, καὶ ταῦτα πάντα συγχωρηθήσεταί σοι. ἡ δὲ Ῥωμάνα εἶπεν πρὸς Ἰωάννην· πιστεύω, ἄνθρωπε τοῦ θεοῦ, ὅσα ἂν ἀκούω ἐκ τοῦ στόματός σου.

Εἷς δὲ τῶν παίδων Διοσκορίδους δραμὼν ἀπήγγειλεν αὐτῷ πάντα ὅσα ἐποίησεν Ἰωάννης τελευτήσαντος τοῦ υἱοῦ αὐτοῦ ἐν τῷ βαλανείῳ, καὶ ὅτι ἤγειρεν αὐτόν, καὶ ὅτι ὄχλος πολύς ἐστιν, περιεστῶτες αὐτῷ. ἀκούσας δὲ Διοσκορίδης περὶ τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ, πεσὼν ἐπὶ τὴν γῆν ἔμεινε νεκρός. ὁ δὲ παῖς ἐπιστρέψας ἐν τῷ πριβάτῳ, ὅπου ἦν ὁ υἱὸς Διοσκορίδους Δόμνος καὶ Ἰωάννης διδάσκων, ἦλθεν κράζων· οἴμοι, κύριέ μου Δόμνε, ὁ κύριός μου Διοσκορίδης τέθνηκεν. ὁ δὲ Δόμνος ὁ υἱὸς Διοσκορίδους ἀκούσας τῆς κακῆς ἀγγελίας περὶ τοῦ πατρὸς αὐτοῦ, εὐθέως ἀνεχώρησεν ἀπὸ Ἰωάννου καὶ ἐλθὼν ἐν τῇ οἰκίᾳ αὐτοῦ εὗρεν τὸν πατέρα αὐτοῦ νεκρὸν κείμενον

3. *ο ησεβ. προς (εις* P²) *κτλ.* VP²: *απερ διεπραξαμην εις σε η αθλια κακα, πληγας εντεινασα αλογιστως και υβρεις καταχεασα και δουλωσιν αδικον σκαιωρισασα. και ο Ιωαννης. γυναι πιστευσον* m³, der von hier an immer willkürlicher von aller sonstigen Tradition abweicht und somit werthlos wird | 7. *Ιωαννην* V: *αυτον* P² | 8. *τ. θεου* VBL: > P² | *οσα — εκ* V cf L *(credo . . . quaecunque)*: *επι πασιν οις ακουω απο* P² cf B | 9. *εις δε — κειμενον* p. 30, 6 V, mit dem in allem wesentlichen L übereinstimmt. Dagegen giebt P² folgende, auch durch B oder durch m³ nicht bestätigte Umarbeitung: *εν δε τω μεταξυ δραμων εις εκ των παιδων Δομνου και απαγγειλας περι του θανατου του υιου αυτου οτι απεπνηγει εν τω βαλανιω. και ως μονον τουτο ηκουσεν απο πολλης αδημονιας πεσων και αυτος παραχρημα απεψυξεν. τοτε γινεται κλαυθμος μεγας και ουαι και θορυβος εν τη οικια Διοσκοριδους, και τινες δραμοντες απηγγειλαν Δομνω τω υιω αυτου ος ην εστως μετα Ιωαννου. και δραμων εν τη οικια ευρεν τον πατερα αυτου τεθνηκωτα, και αναλαβων γοερον θρηνον, τειλλον την κωμην αυτου ερχεται προς Ιωαννην γονοιπετων αυτον και λεγων· ανθρωπε του θεου, εμε νεκρον οντα παρ᾽ ελπιδα ανεστησας, και ακουσας ο πατηρ μου περι τον θανατον μου και αυτος παραχρημα πεσων απεθανεν. αλλα δεομαι σου, βοηθησον ημιν και αναστητω ο πατηρ μου. ο δε Ιωαννης κτλ.* | *Διοσκοριδους*: V hat hier wiederholt *Διοσκοριδου*, aber an anderen Stellen wie die übrigen Hss. — *ους* | 15. *Δομνος*: L, welcher hier zuerst den Eigennamen bietet, schreibt constant *Theon*

ἐπὶ τὴν γῆν, καὶ ἀναλαβόμενος τὸ πένθος τοῦ πατρὸς αὐτοῦ ἦλθεν πρὸς Ἰωάννην, καὶ πεσὼν εἰς τοὺς πόδας αὐτοῦ εἶπεν αὐτῷ· ἄνθρωπε τοῦ θεοῦ, ἐμὲ νεκρὸν ὄντα ἐζωοποίησας, καὶ ἀκούσας ὁ πατήρ μου ταῦτα ἔπεσεν παραχρῆμα καὶ ἀπέθανεν. ἀλλὰ δέομαί σου, βοήθησον Δόμνῳ, ὃν ἤγειρας ἐκ νεκρῶν, μὴ πάλιν νεκρὸς γένωμαι, πατέρα νεκρὸν θεωρῶν ἐπὶ γῆς κείμενον. ὁ δὲ Ἰωάννης εἶπεν πρὸς αὐτόν· μὴ λυποῦ Δόμνε· ὁ γὰρ θάνατος τοῦ πατρός σου ζωὴ αὐτῷ τε καὶ σοί ἐστιν. καὶ λαβόμενος Ἰωάννης Δόμνον τῆς χειρὸς αὐτοῦ λέγει· ἄγωμεν πρὸς τὸν σὸν πατέρα Διοσκορίδην. καὶ εἰσήγαγεν Δόμνος Ἰωάννην πρὸς τὸν πατέρα αὐτοῦ· ἠκολούθει δὲ καὶ ἡ Ῥωμάνα ὀδυρομένη περὶ τούτου καὶ ὄχλος πολὺς ὀπίσω αὐτῶν. καὶ κρατήσας Διοσκορίδην νεκρὸν ὄντα τῆς δεξιᾶς χειρὸς εἶπεν· Διοσκορίδη, Διοσκορίδη, ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ τοῦ θεοῦ ἀνάστα. καὶ εὐθέως ἀνέστη ὁ νεκρός, οἱ δὲ ὄχλοι ἐθαύμαζον ἐπὶ τοῖς γενομένοις σημείοις ὑπὸ Ἰωάννου. καὶ οἱ μὲν ἔλεγον θεὸν αὐτὸν εἶναι, οἱ δὲ μάγον, ἄλλοι δὲ ἔλεγον, ὅτι μάγος νεκρὸν οὐκ ἐγείρει. ὁ δὲ Διοσκορίδης εἰς ἑαυτὸν ἐλθὼν εἶπεν πρὸς Ἰωάννην· σὺ εἶ, ἄνθρωπε, ὁ ἐγείρας τὸν υἱόν μου νεκρὸν ὄντα; λέγει αὐτῷ Ἰωάννης· Ἰησοῦς Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ ὁ δι' ἐμοῦ κηρυττόμενος. καὶ πεσὼν Διοσκορίδης εἰς τοὺς πόδας Ἰωάννου εἶπεν πρὸς αὐτόν· δός μοι τὴν ἐν Χριστῷ σφραγῖδα. τότε εἶπεν ὁ Ἰωάννης· πίστευσον εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ

8. *τε και σοι* V: *και σου* P² | 9. *Ιω. Δομν.* V: *Theonem* (= *Δομνον*) L, > P² | *λεγει — Διοσκ.* VL: > P² | 10. *εισηγ. — αυτου* V: nur *ηλθεν εν τη οικεια* P², > L hier, aber er bringts nach vor *και κρατησας* l. 12 | 11. *δε και* V: *δε* P² L | *οδυρ. — πολυς* V cf L *(et multa plorantium et flentium turba)*: nur *κ. οχλος πολλυς* P² | 12. *οπισω αυτων* V: > P² (L?) | *και κρ. — χειρος* V: *ο δε Ιωαννης κρατησας της δεξιας χειρος αυτου* P², wieder anders L | 14. *του υιου* P² L: in V erst am Rand ergänzt | 15. *αναστα — Ιωαννου* V: *αναστηθι. και παραχρημα ανεστη ωστε παντας εκπλαγηναι επι το γεγονως* P² cf B, noch anders L | 17. *οι δε — ελεγον* V: *οι δε ελεγον ουχι, αλλα μαγος εστιν αλλοι ελεγον* P² | 18. *ο δε κτλ.* V L: *και ην σχησμα εν αυτοις* × P² | 19. *Ιω.* V: *τον* × P² | *ανθρωπε* V: + *του θεου* P² L B; die Wortstellung nach V B L, *ανθρ. του θεου* vor *συ* P² | *ο εγειρας — οντα* V L cf B: *ο καμε και τον υιον μου παρ ελπιδα ζωοποιησας; ο δε Ιω. ειπεν προς αυτον* P² | 20. *Ιησ. Χρ.* V B: *ουκ εγω αλλ ο Χρ.* P² L | 21. *δι'* V L: *υπερ* (sic) P² | *και πεσων κτλ.* V L: *και εαν πιστευσης εις αυτον ου μονον ταυτην την ζωην αλλα και την αιωνιον κληρονομησεις. ο δε πεσων* P² cf B | 22. *προς αυτον — προς αυτον* p. 31, 3 V cf L: > P² B | 23. *τοτε* schreibe ich nach L *(tunc Joannes, crede, inquit)*: *ο δε ειπεν ο Ιωαννης* V

τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος καὶ βαπτίσθητι. καὶ λαβόμενος ὁ Διοσκορίδης τῆς χειρὸς Ἰωάννου εἰσήγαγεν αὐτὸν εἰς τὸν οἶκον αὐτοῦ, καὶ εἶπεν πρὸς αὐτόν· ἰδοὺ ὁ υἱός μου κἀγώ· πάντα τὰ ἐμὰ εἰς τὰς χεῖράς σου παρατίθημι. καὶ ὑπέδειξεν αὐτῷ πᾶσαν τὴν οὐσίαν αὐτοῦ καὶ εἶπεν αὐτῷ· πάντα ταῦτα λαβὲ καὶ τὸν υἱόν μου καὶ ἐμὲ αὐτόν, καὶ ποίησον ἡμᾶς τοῦ θεοῦ σου δούλους. ὁ δὲ Ἰωάννης εἶπεν πρὸς Διοσκορίδην· οὔτε ἐγὼ τούτων χρήζω οὔτε ὁ θεός μου· καὶ γὰρ ἡμεῖς ἀφέντες ταῦτα ἠκολουθήσαμεν αὐτῷ. καὶ εἶπεν Διοσκορίδης πρὸς Ἰωάννην· ποῦ ἠκολουθήσατε αὐτῷ. εἶπεν δὲ αὐτῷ Ἰωάννης· ἄκουε Διοσκορίδη τὰ σπλάγχνα ἃ ἔχει ὁ θεός. ἐπειδὴ πλάνη δαιμόνων ἐγένετο ἐν τοῖς ἀνθρώποις καὶ ἐλάτρευον τοῖς δαίμοσιν, ὁ θεὸς ὁ μόνος ἀγαθὸς ἐξαπέστειλεν τὸν υἱὸν αὐτοῦ, καὶ ἐγεννήθη ἐκ παρθένου καὶ ἐνπροέκοψεν τῇ ἀνθρωπίνῃ σαρκὶ ὡς ἄνθρωπος καὶ ἐδίδαξεν τοὺς ἀνθρώπους ἀποστῆναι τῆς δαιμονικῆς πλάνης. καὶ λαβόντες οἱ πρῶτοι τῶν Ἰουδαίων κατέκριναν αὐτὸν ὥστε σταυρωθῆναι. ταῦτα πάντα ἔπαθεν ὑπὲρ ἡμῶν καὶ μετὰ τρεῖς ἡμέρας ἀνέστη ἐκ τοῦ Ἅδου, ἐλευ-

3. *ο υιος — παντα* V: *εγω και ο υιος μου και παντα* P² B, so auch L, aber > *και* | 4. *παρατιθημι* V L (*commendamus*): *εσμεν* P² B | *υπεδ. — Διοσκορ.* l. 7 V: *εδειξεν αυτον χρηματα πολλα λεγων· ταυτα λαβων ποιησον ημας δουλους τον Χριστου σου. ειπεν δε προς αυτον Ιωαννης* P², theils mit V, theils mit P² geht B, > L | 8. *χρηζω* V B: *χρειαν εχω* P² | 9. *ταυτα* V (s. kritische Note zu B, vielleicht auch dort ursprünglich): *πλειονα τουτων* vor *αφεντες* P² | *αυτω — Ιωαννην* V cf B: *αυτον. τουτον τον λογον ακουσας ο Διοσκ. ειπεν· διδασκαλε αγαθε* P², ganz ungenau L | 10. *ειπεν δε αυ.* V: *εφη προς αυτον* P² | 11. *θεος* V: *περι το των ανθρωπων γενος* + P² cf B, die ganze Rede abkürzend L | 12. *πλανη — ανθρωπους* l. 15 V: *δαιμονικη πλανη περιπεσωντες οι ανθρωποι. οικτειραι θελων ο δεσποτης θεος το ιδιον πλασμα εξαπεστειλεν τον υιον αυτου τον μονογενη, γενομενον εκ πνευματος αγιου και Μαριας της παρθενου, και ευδοκησεν προκοψαι τη οικονομια της σαρκωσεως ως ανθρωπος χωρις αμαρτιας και εδιδαξεν τοις ανθρωποις* P² (mehrfach anklingend an B) | 16. *και λαβ. — βαπτισαι* p. 32, 4 V (auch *και πιστευσαι*): *οι δε πρωτοι των Ιουδ. κατεκρ. αυτον σταυρωθηναι, τους ελεγχους αυτου μη φεροντες. και αποθανων εκυσιως υπερ ημων και σκυλευσας τον αδην παντας τους δεσμιους ηλευθερωσεν και ανεστη τριημερος εκ των νεκρων θεοπρεπως και ενεφανισθη ημιν τοις ενδεκα αποστολοις και συνεφαγεν ημιν και συνεπιεν, και ενετειλατο ημας πορευθ. εις ολον τ. κοσ. κηρυξαι και διδ. και βαπτ. παντας τ. πιστευοντας εις τ. ον. του π. κ. του υ. κ. του αγ. πν.* P²

θερώσας πάντας τοὺς ἐν τῷ Ἅδῃ κατεχομένους· καὶ μετὰ τὸ ἀναστῆναι αὐτὸν ἐφάνη ἡμῖν τοῖς δώδεκα ἀποστόλοις αὐτοῦ καὶ συνέφαγεν σὺν ἡμῖν καὶ συνέπιεν σαρκικῶς, καὶ ἐνετείλατο ἡμῖν ὡς πνευματικοῖς πορευθῆναι εἰς τὸν κόσμον καὶ διδάξαι [καὶ πιστεῦσαι] καὶ βαπτίσαι. ὁ οὖν πιστεύσας εἰς αὐτὸν σωθήσεται, ὁ δὲ ἀπιστήσας κατακριθήσεται. μετὰ οὖν τὸ διδαχθῆναι ὑπὸ Ἰωάννου τὸν Διοσκορίδην καὶ τὸν υἱὸν αὐτοῦ Δόμνον ἔπεσεν Διοσκορίδης εἰς τοὺς πόδας Ἰωάννου λέγων αὐτῷ· ἄνθρωπε τοῦ θεοῦ, βάπτισον καὶ ἐμὲ καὶ τὸν υἱόν μου εἰς τὸ ὄνομα τοῦ θεοῦ σου. καὶ εἶπεν Ἰωάννης· ἰδοὺ ἀπεδέξατο ὁ θεὸς νῦν σὲ καὶ τὸν υἱόν σου. καὶ ταῦτα λαλοῦντος Ἰωάννου ἔρχεται καὶ Ῥωμάνα ἔχουσα τοὺς χάρτας τοὺς ἐπιλεγομένους ὠνὰς ἡμῶν καὶ πεσοῦσα εἰς τοὺς πόδας Ἰωάννου λέγει· διάρρηξον τὰς ἁμαρτίας μου καὶ δός μοι τὴν ἐν Χριστῷ σφραγῖδα. καὶ λαβὼν Ἰωάννης τοὺς χάρτας διέρρηξεν αὐτούς, καὶ εὐθέως ἐβάπτισεν Διοσκορίδην καὶ Δόμνον τὸν υἱὸν αὐτοῦ καὶ Ῥωμάναν. καὶ ἐξελθόντες ἐκ τοῦ οἴκου αὐτῶν ἤλθομεν ἐν τῷ βαλανείῳ, ἐν ᾧ ἦμεν ἐκτελοῦντες τὰ ἔργα ἡμῶν· ἦν δὲ καὶ ὁ κύριος τοῦ πριβάτου Διοσκορίδης σὺν ἡμῖν. καὶ εἰσελθὼν Ἰωάννης ἐν τῷ βαλανείῳ ἐξήλασεν τὸν ἀκάθαρτον δαίμονα τὸν ἀποκτείνοντα τοὺς ἀνθρώπους. καὶ λαβὼν ἡμᾶς πάλιν Διοσκορίδης ἀπήγαγεν ἐν τῷ οἴκῳ αὐτοῦ καὶ παρέθηκεν ἡμῖν τράπεζαν, καὶ εὐχαριστήσαντες τῷ θεῷ μετελάβομεν τροφῆς καὶ ἐμείναμεν παρ' αὐτῷ τὴν ἑσπέραν.

6. *μετα — εσπεραν* l. 24 V, nur wenig abgekürzt L cf auch B: dagegen P² *λεγει αυτω Διωσκοριδης· δεομαι σου ανθρωπε του θεου, βαπτησον ημας εις το ονομα του Χριστου σου. και λαβομενος εβαπτησεν την τε Ρωμαναν και αυτον πανοικι εις το ονομα τ. π. κ. τ. υ. κ. τ. α. πν. κατα δε παρακλησιν Διωσκοριδους εξηλθομεν εν τω πριβατω εν ω ην το ακαθαρτον πνευμα το αποπνηγον τους ανθρωπουν. και εισελθων ο Ιωαννης επετημησεν αυτω λεγων· σοι λεγω πευμα πονηρον και ακαθαρτον· παραγγελω σοι εν τω ονοματι Ιησου Χριστου του υιου του θεου, μηκετι κατοικισης εν τω τοπω τουτω. και ευθεως ο δαιμων ως υπο πυρος διωκομενος γεγονεν αφανεις. και απο της ωρας εκεινης ηλευθερωθη ο τοπος εκεινος εκ την ενεργειαν του ακαθαρτου πνευματος. και παντες θαυμαζοντες επι τοις γινομενοις και εδοξαζον τον θεον. ο δε διωσκοριδης παραλαβων ημας εις τον οικον αυτου μετελαβωμεν τροφης και εμειναμεν εκει αγαλλιωμενοι και δοξαζοντες τον θεον* | 24. *παρ' αυτω* V L (*cum eo*): *εκει* P² (s. vorher) P³ B | *την εσπεραν* P³: *τη εσπερα* V, *usque ad vesperam* L, > P² B

Τῇ οὖν ἕωθεν εἰδωλομανίας ἐπιτελουμένης, πανδήμου ἑορτῆς τῆς Ἀρτέμιδος, κατέναντι τοῦ ἱεροῦ αὐτῆς ἄγαλμα αὐτῆς ἦν ἐπὶ ὑψηλοῦ τόπου, καὶ ἀνελθὼν Ἰωάννης ἐστάθη ἐκ δεξιῶν αὐτοῦ τοῦ ἀγάλματος, καὶ πάντες οἱ Ἐφέσιοι λευκοφοροῦντες ἦσαν διὰ τὴν ἑορτὴν αὐτῶν. ὁ οὖν Ἰωάννης ὡς ἦν ἔχων μεμελανωμένα ἱμάτια, ἐν οἷς τὴν ὑπηρεσίαν ἐπετέλει, ἐστάθη. καὶ ἰδόντες αὐτὸν οἱ Ἐφέσιοι πολλοῦ θυμοῦ πλησθέντες, λίθους ἐπιλαβόμενοι, ὅσοι πιστῶς ἔχοντες περὶ τῆς Ἀρτέμιδος, ἔβαλον κατὰ τοῦ Ἰωάννου. ἦσαν δέ τινες φανταζόμενοι μόνον τὰ περὶ τὴν ἑορτὴν αὐτῶν καὶ μετεωριζόμενοι καὶ μήτε τῷ θεῷ προσέχοντες μήτε σεβόμενοι τὴν ἐπιτελουμένην ἑορτὴν τῆς μιαρᾶς Ἀρτέμιδος. τῶν οὖν λίθων βαλλομένων κατὰ τοῦ Ἰωάννου οὐδὲ εἷς ἔπληξεν αὐτόν, ἀλλὰ τῷ εἰδώλῳ πάντες οἱ λίθοι προσέκρουον καὶ διελέπτυνον αὐτό. ὁ δὲ Ἰώαννης μετὰ τὸ διακλάσαι τὸν λαὸν τὸ ἄγαλμα εἶπεν πρὸς αὐτούς· ἄνδρες

1. *τη ουν ε.* V m^3 (dieser geht aber mit den Worten *εξελθοντες ηλθομεν εις τοπον καλουμενον τυχη πολεως* zu p. 36, 2 über): *και τη εωθεν* P^3, *εγενετο δε εν ταις ημεραις εκεινοις* P^2, *εν μια ουν των ημερων* B | *ειδωλ. -- Αρτεμιδος* V: *εορτης επιτελ* (*τοις Εφεσιοις* + B) *της* (*μιαρας* + P^2, *θεας αυτων* + m^1 m^2) *Αρτεμιδος* P^2 B cf L, > P^3 (daher gleich *της Αρτ* statt *αυτης*) | 2. *κατεν. τ. ιερου αυ.* V P^3 (s. vorher) L (*prophanum templum* d. i. *pro fano templi*): > P^2 B, welche beide mit *και παντων των της πολεως* zu l. 4 übergehn | *αγαλμα αυτης ην* P^3 L (*positumque erat . . Dianae idolum*): > V | 3 *επι* V: *εφ'* P^3 | *Ιω.* V: *ο* × P^3 | 4. *αυτου* V: > P^3 | *λευκ. ησαν* V: *ησαν λευκ.* P^3, dasselbe Verb c m^1, *λευχημονουντων* m^2 v, *λευσχημονουντων* P^2 (dieser + *κροτουντων, ορχουμενων και μεθυοντων* u. ist überhaupt hier sehr willkürlich) | 5. *ως — μεμελαν.* V (geschrieben *εχω μεν μελανομενα*) P^2 (*μεμελανωμενον*): *ειχε μελανωθεντα* P^3 | 6. *ιματια — εσταθη* V cf L: *τον χιτωνα* (*αυτου απο* P^2) *εκ της υπηρεσιας της καμινου* P^2 P^3 cf B | 7. *πολλου* V: > P^2 P^3 B | 8. *επιλαβομενοι* P^2 (aber vor *λιθους*): *επιβαλομενοι* V, *λαβοντες* P^3 | *οσοι — Αρτ.* V: *οσοι πιστιν ειχον προς την Αρτεμιν* vor *λιθους* P^3, *ελιθοβολουν αυτον λεγοντες· οσοι πιστοι περι την μεγαλην Αρτεμιν ευτονως λιθοβολησατε τον μαγον τουτον κτλ.* P^2 | 9. *μονον* V: > P^3, den ganzen Satz > P^2 L | 10 *την εορτην* V: *της εορτης* P^3 | 12. *μιαρας* V: > P^3 | *βαλλομενων* V: *ριπτομενων* P^3 B, gar nicht zu vergleichen P^2 | 13. *ουδε — αγαλμα* V: *υπο των πιστευοντων τη Αρτεμιδι ουδεις των λιθων επληξε τον Ιωαννην και εβρυχον δεινως ορωντες οτι ουκ απτονται αυτου αλλα μαλλον οι λιθοι παντες προσεκρουον τω ειδωλω και διελεπτυνον αυτο· οι δε αλλοι γελοιων μετειχον. ο ουν Ιωαννης μετα το διακλασθηναι το αγαλμα* P^3, ohne Bestätigungen in P^2 B, die unter sich ganz verschieden sind, cf dagegen theilweise L c. 4 extr.

Ἐφέσιοι, τί μεμήνατε ἐπὶ τῇ ἑορτῇ τῶν ἀκαθάρτων δαιμονίων καὶ ἐγκατελείπατε θεὸν τὸν πάσης κτίσεως ποιητήν. ἰδοὺ ἡ θεὰ ὑμῶν κατεκλάσθη ὑπὸ τῶν λίθων τῶν ὑφ' ὑμῶν ῥιπτομένων· ἢ βοηθήσατε τῇ θεᾷ ὑμῶν, ὅπως γένηται σώα, ἢ προσεύξασθε ὅπως ἐνεργήσῃ εἰς ἐμέ, ἵνα ἴδω μίαν δύναμιν εἰς αὐτὴν καὶ πιστεύσω. οἱ δὲ πάλιν ἔβαλλον λίθους κατὰ τοῦ Ἰωάννου ὡς ἐπὶ ὥραν μίαν, καὶ οὐδεὶς τῶν λίθων ἔπληξεν τὸν Ἰωάννην. κατέτεμνον οὖν καὶ περιέσχιζον τὰς στολὰς τὰς λευκὰς ἃς ἐφόρουν ἐπὶ τῇ ματαίᾳ ἑορτῇ αὐτῶν. ὁ δὲ Ἰωάννης ἰδὼν αὐτοὺς ὑπὸ τοῦ δαίμονος τοῦ ἀκαθάρτου διεγερθέντας καὶ ὀλέσκοντας ἑαυτούς, λέγει αὐτοῖς πάλιν· ἄνδρες Ἐφέσιοι, θέλετε ἰδεῖν δύναμιν καὶ φόβον θεοῦ, μετὰ ἀνεξικακίας προσέχετε ἑαυτοῖς καὶ ὄψεσθε. οἱ δὲ λῆρα ἡγοῦντο τὰ λεγόμενα ὑπὸ Ἰωάννου. ὁ δὲ Ἰωάννης κατὰ ἀνατολὰς σταθεὶς καὶ ἐκτείνας τὰς χεῖρας εἰς τὸν οὐρανὸν καὶ στενάξας εἶπεν· κύριε Ἰησοῦ Χριστέ, πιστοποίησον τοὺς ἀνθρώπους τούτους, ὅτι σὺ εἶ θεὸς μόνος ἐν οὐρανῷ καὶ ἐπὶ γῆς, καὶ πλὴν σοῦ οὐκ ἔστιν ἕτερος. καὶ ἐπὶ τῷ λόγῳ Ἰωάννου βρασμὸς ἐγένετο μέγας τῆς γῆς καὶ

1. *τι μεμηνατε* — l. 15 *ειπεν* V, mit dem am ersten noch L zu vergleichen: in P^2, der einige Berührungen mit B (Amphil. p. 14) hat, heisst es: *τι μεμεινατε επι τη πλανη των δαιμονων εγκαταλειποντες τον ζωντα θεον, ος εποιησεν τον ουρανον και την γην και παντα τα εν αυτοις. εκνηψατε ουν εκ της πατροπαραδοτου ταυτης υμων πλανης των δαιμονων και προσελθοντες κολληθητε αυτω. αυτος γαρ εστιν οικτιρμων και ιλασκεται τας αμαρτιας ημων και ου διαφθηρει. επειγνωτε συν τον οντος οντα θεον και επιστρεψατε προς αυτον τας καρδιας υμων και αυτος καθαριει υμας απο των αμαρτιων υμων, οτι εν αυτω εστιν η σωτηρια και η ζωη η αιωνιος. οι δε περισσωτερον ελθοβολουν αυτον και κατιτεμνον αλληλους υπο των λιθων και τας στολας αυτων εσχιζον ζητουντες πιασαι και θανατωσαι αυτον και ουκ ηδυναντο. η γαρ χαρις του θεου ην φυλαττουσα αυτον. ως δε ιδεν αυτους υπο του ακαθαρτου δαιμονος διεγερθεντας και αλληλους κατατεμνοντας και φωνας ασιμους αφιεντας, κατασεισας την χειρα αυτου, μεγαλη φωνη ειπεν· ανδρες Εφεσιοι, τι μεμηνατε· ιδου και η θεα υμων υπο των υφ' ημων βαλλομενων λιθων κατεκλασθη και συνετριβη εις τελος. ει ουν εαυτη βοηθησαι ουκ ισχυσεν, εταιρους πως βοηθεισαι δυναται. και ταυτα ειπων εστραφη κατα ανατολας και προσηυξατο λεγων* | 15. *Ιησου Χριστε* V: + *εν οικτιρμοις* (*—μω* v) *και μετριοπαιδειαις* (*παιδεια* v) B, *Jesu Christe qui corripis in misericordia et miserationibus* L, *Ιησου μεσιτης θεου και ανθρωπων* P^2 | 16. *θεος — γης* V: *θεος* B, > P^2 | 17. *πλην — ετερος* V B: *ουκ εστιν πλην σου* P^2, der im folgenden wieder stark von V aber auch B u. L abweicht

ἔπεσαν ἐκ τοῦ πλήθους τῶν ἀνδρῶν τὸν ἀριθμὸν ὀκτακόσιοι. οἱ δὲ λοιποὶ ἰδόντες τὸ γινόμενον προσέπεσαν τῷ ἀποστόλῳ τοῦ Χριστοῦ καὶ θεοῦ Ἰωάννῃ, λέγοντες αὐτῷ· δεόμεθά σου, τοὺς ἀνθρώπους τοὺς πεσόντας ἀνάστησον, καὶ πιστεύσομεν εἰς τὸν θεόν σου. ὁ δὲ Ἰωάννης εἶπεν πρὸς αὐτούς· ὦ ἀνόητοι καὶ βραδεῖς τῇ καρδίᾳ, ἄνδρες Ἐφέσιοι, τοῦ μὴ πιστεύειν ἐπὶ θεὸν ζῶντα, καὶ οὗτοι οἱ πεσόντες ἐὰν ἀναστῶσιν, σκληρυνθήσεται ὑμῶν ἡ καρδία ὡς τοῦ Φαραώ. οἱ δὲ πεσόντες πάλιν ἐπὶ πρόσωπον αὐτῶν τρίτον παρεκάλουν τὸν Ἰωάννην περὶ τῶν κειμένων νεκρῶν. ὁ δὲ Ἰωάννης ἀναβλέψας εἰς τὸν οὐρανὸν καὶ στενάξας τῷ πνεύματι καὶ δακρύσας εἶπεν· ὁ ὢν θεὸς πρὸς τὸν ἀεὶ ὄντα θεὸν καὶ πατέρα, κύριε Ἰησοῦ Χριστέ, υἱὲ τοῦ θεοῦ, ὁ ἐπὶ σωτηρίᾳ πάντων ἀνθρώπων ἐπιφανεὶς καὶ συγχωρήσας ἡμῖν τοῖς πιστεύουσιν ἐπὶ σὲ τὰς ἁμαρτίας ἡμῶν, συγχώρησον καὶ τοῖς ἀνθρώποις τούτοις τοῖς μὴ πιστεύουσιν καὶ τεθνηκόσιν. ἀνάστησον αὐτοὺς τοῦ πιστεύειν ἐπὶ σέ, καὶ δὸς τῷ δούλῳ σου μετὰ παρρησίας λαλεῖν τοὺς λόγους σου. καὶ ταῦτα εἰπόντος τοῦ Ἰωάννου πάλιν βρασμὸς ἐγένετο, καὶ ἀνέστησαν οἱ ὀκτακόσιοι ἄνδρες οἱ νεκροὶ κείμενοι καὶ προσέπεσαν τῷ ἀποστόλῳ Ἰωάννῃ. καὶ ἐδίδαξεν αὐτοὺς τὰ περὶ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, καὶ ἐβάπτισεν τοὺς ὀκτακοσίους ἄνδρας τοὺς πεσόντας καὶ ἀναστάντας ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ λαβὼν ἡμᾶς Διοσκορίδης εἰσήγαγεν ἐν τῷ οἴκῳ αὐτοῦ καὶ παρέθηκεν ἡμῖν τράπεζαν καὶ ἠγαλλιασά-

1. *οκτακοσιοι* V L: *ωσει διακοσιοι* B, > P^2. später aber bringt er *πεντακοσιοι* | 2. *οι δε — αυτω* V cf L (> *αποστ. — θεου*): *ιδοντες δε οι λοιποι οχλοι το γεγονως και εις εαυτους ελθοντες μετα φοβου και τρομου δρομεως προσεπεσον τω Ιωαννη λεγοντες* P^2, der bis *δακρυσας* l. 11 noch weiter von V u. L abweicht, als B | 3. *δεομ. σου* V v m^2: *ανθρωπε τ. θεου* + c m^1, *δουλε του υψιστου* + P^2, *domine* × L | 4. *και πιστευσομεν* V (geschrieben *—ωμεν*): *κ. πιστευομεν* P^2 L, *οπως πιστευσωμεν* B | *εις τ. θ. σου* V: *τω υπο σου κηρυττομενω* (+ *θεω* B) P^2 B, *in deum tuum, quem nobis praedicas* L | 5—10. *ο δε — νεκρων* V L: > P^2 B | 12. *τον αει — πατερα* V: *τον αει οντα πατερα* P^2 c m^2 v (dieser > auch *αει*), dazu + *θεον* m^1, *qui semper es cum patre verus deus* L | *υιε τ. θ.* V B: > P^2 L, von hier — *εν τοπω* p. 36, 2 geht P^2 wieder seinen ganz eigenen Weg und lässt den Apostel im Hause des Myron, der gar nicht in Ephesus sondern auf Patmos wohnt (s. später), statt im Hause des Dioskorides zur Ruhe kommen | 15. *τοις μη — τεθνηκοσιν* V: nur *τοις τεθνηκ.* B (P^2 L frei) | 17. *τους λογους* V: *τον λογον* P^2 B L

μεθα. καὶ προβάντων ἡμῶν ἐκεῖθεν μικρὸν ἤλθομεν ἐν τόπῳ καλουμένῳ Τύχῃ πόλεως. ἦν δὲ ἄνθρωπος ἐκεῖ κατακείμενος, μὴ δυνάμενος στῆναι ἐπὶ τὴν βάσιν αὐτοῦ, ἔχων ἔτη νοσῶν δώδεκα. ὡς οὖν εἶδεν τὸν Ἰωάννην ἔκραξεν φωνῇ μεγάλῃ λέγων· ἐλέησόν με, μαθητὰ τοῦ Χριστοῦ. ὁ δὲ Ἰωάννης ἰδὼν αὐτὸν καὶ θαυμάσας ἐπὶ τῇ πίστει αὐτοῦ εἶπεν αὐτῷ· ἀνάστα ἐν ὀνόματι πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος. καὶ εὐθέως ἀνέστη.

Ἰδὼν οὖν ὁ δαίμων ὁ ἀκάθαρτος ὁ προσπαραμένων τῷ βωμῷ τῆς Ἀρτέμιδος πάντα τὰ γενόμενα σημεῖα ὑπὸ Ἰωάννου καὶ ὅτι μέλλει καταπίπτειν διὰ τοῦτον τὸ ἱερὸν τῆς Ἀρτέμιδος καὶ αὐτὸς διώκεσθαι ἀπὸ τῆς πόλεως ὑπὸ Ἰωάννου, λαβὼν ταξεωτικὸν σχῆμα καὶ χάρτας ἐπιφερόμενος διὰ φαντασίας, ἐκάθισεν ἐν τόπῳ εὐπεριβλέπτῳ καὶ ἔκλαιεν. παρερχομένων δὲ δύο ταξεωτῶν, καὶ ἰδόντες αὐτὸν κλαίοντα, τῷ σχήματι αὐτῶν ἀντιποιούμενοι ἤγγισαν αὐτῷ καὶ εἶπον αὐτῷ· ἑταῖρε, τί ἔχεις ἢ τί σοί ἐστιν πρᾶγμα; ἀνάγγειλον ἡμῖν, τί ἐστιν τὸ λυποῦν σε, καὶ ἡμεῖς, ὃ ἐὰν δυνώμεθα, θεραπεύσομέν σε. ὁ δὲ κλαίων καὶ ὀδυρόμενος λέγει αὐτοῖς· ἐν πολλῇ θλίψει τυγχάνω καὶ οὐκέτι δύναμαι ἐγὼ ζῆν ὁ ἄθλιος, ἀλλὰ θέλω ἑαυτὸν κατὰ κρήμνου ῥῖψαι. εἰ μὲν οὖν δύνασθέ μοι βοηθῆσαι, ἀναγγελῶ ὑμῖν· εἰ δὲ μήγε, τί καὶ τὸ μυστήριόν μου ἀποκαλύπτω; οἱ δὲ εἶπον αὐτῷ· τὸ σχῆμα ὅπερ ἔχεις ταξεωτικόν ἐστιν; λέγει αὐτοῖς ὁ δαίμων· ναί. εἶπαν οὖν αὐτῷ· αὐτὸς

2. *Τυχη πολεως* VBP^2 (*τυχει*): *muro* (*τειχει*) *civitatis* L | 9. *ουν* V: *δε* P^2 L, (nach einem Participialsatz) > B | *ο ακαθαρτος* V: > P^{2}BL | 10. *παντα* V B (aber ohne *σημεια*): > P^2 | *γενομενα* V v: *γεγεννημενα* P^2, *γινομενα* c m^1 m^2 | 11. *μελλει — Αρτεμιδος* V cf L B: *ιδη* (= *ηδη*) *παντες δι᾽ αυτου πιστευσαι μελλουσιν τω Χριστω* P^2 (auch weiterhin sehr frei) | 13. *ταξεωτικον σχ.* V: *σχ. ταξ* v m^2, *σχ. ταξεωτου* P^2 c m^1 | *επιφερομενος* V c m^1: *επαγομενος* m^2 v, *κρατων εν τη χειρι αυτου* P^2, auch sonst abweichend | *δια φαντασιας* V: *εν φαντασια* B | 15. *και ιδοντες — ειπον αυτω* V: *κ. ιδοντες αυτον ουτως κλεοντα πικρως ως αντιποιουμενοι το σχημα αυτων ηρωτων αυτον λεγοντες* P^2, *κ. συναλγησαντων τω σχηματι επυνθανοντο παρ᾽ αυτου* (c m^2 v, *επηρωτων αυτον* m^1) B | 20. *αλλα — ριψαι* V cf L (*meipsum in mortem dedere volo*): > P^2 B | 22 *αναγγελω* V B: *αναγγελλω* P^2 | *ει δε — αποκαλ.* P^2 B (*δημοσιευω υμιν* c, *αναγγελω υμιν* m^1 m^2, *ακουετε* v) cf L: > V | 23. *οι δε — ομοσατε* p. 37, 3 V cf L: *οι δε ειπον* (*αναγγειλον ημιν και* + c m^1) *εχεις γνωναι οτι δυναμεθα σοι συνελθειν. απεκριθη αυτοις ο δαιμων* (*εαν θελετε* oder *θελητε δυνασθε, πλην* + m^2 v) *ομοσατε* B, völlig abweichend und abgekürzt bis p. 37, 12 P^2

δύνασαι γνῶναι, εἰ δυνάμεθά σοι συνελθεῖν. ὁ δὲ εἶπεν· ἐὰν θέλητε, δύνασθε. καὶ εἶπον πρὸς αὐτόν· θέλομεν. καὶ λέγει αὐτοῖς ὁ δαίμων· ὀμόσατέ μοι κατὰ τῆς μεγάλης Ἀρτέμιδος, ὅτι εἰ δέῃ ὑμᾶς ἀποθανεῖν, ποιεῖτε ὑπὲρ φίλου ὑμῶν, κἀγὼ ὑμῖν ἐξηγοῦμαι, καὶ δεικνύετε διάθεσιν πρὸς φίλον καὶ ξένον, καὶ τοὺς μισθοὺς ὑμῶν λαμβάνετε καὶ τὴν ἐμὴν ψυχὴν διασώζετε. οἱ δὲ ὤμοσαν αὐτῷ τοῦ μετὰ πάσης δυνάμεως φροντίσαι τὰ περὶ αὐτοῦ. ὁ δὲ ἀπόδεσμον χρυσίου ἔδειξεν αὐτοῖς λέγων· φίλοι καλοί, ἀγωνίσασθε, ἰδοὺ καὶ τὰ ἑτοιμασθέντα ὑπὲρ τοῦ κόπου ὑμῶν. οἱ δὲ περισσοτέρως ἐζήτουν περὶ τοῦ πράγματος αὐτοῦ καὶ εἶπαν αὐτῷ· ἀνάγγειλον ἡμῖν, φίλε καλέ, καὶ ἀφρόντιστος ἔσο καὶ ὀδυρόμενος καὶ κλαίων ἔλεγεν αὐτοῖς· Καισαρείας τῆς Παλαιστίνης ἐγὼ ὑπάρχω ὁ ἄθλιος, βοηθὸς κομέντων, καὶ δύο ἄνδρες παρεδόθησάν μοι ἀπὸ Ἱερουσαλήμ, ὄνομα τῷ ἑνὶ Ἰωάννης καὶ ὄνομα τῷ ἑτέρῳ Πρόχορος. καὶ λαβὼν αὐτοὺς ἐγὼ ἔβαλον ἐν τῇ φυλακῇ τρεῖς ἡμέρας· τῇ δὲ τετάρτῃ ἐγένετο αὐτῶν πρόοδος καὶ κατέθεντο πολλὰ ἀσεβῆ, φαῦλα πράξαντες. καὶ ἰδὼν ὁ ἄρχων τὸ πλάτος τῶν κακῶν ὧν κατέθεντο, ἀνέπεμψεν αὐτοὺς ἐν τῇ φυλακῇ, ὅπως ἐν ἑτέρᾳ ἐξετάσει ἀκριβέστερον μάθοι τὰ περὶ αὐτῶν. λαβὼν οὖν αὐτοὺς ἐγὼ ἀπέφερον ἐν τῇ φυλακῇ, διὰ δὲ μαγικῆς κακοτεχνίας ἐξέφυγον ἐκ τῶν χειρῶν μου. καὶ ἀπήγγειλα τῷ ἐμῷ αὐθέντῃ

1. *ει* (geschrieben *η*) V: *οτι* B | 2. *θελητε* m²: *θελετε* V v | 4. *οτι* B: *οτε* V, aber *ε* punctirt | *δεη* (geschrieben *δεει*) V | 12 *Καισαρειας* V P² m² v: *απο* X c m¹ | 13. *της Παλ.* V P² c m² v: *της εν Παλαιστινη* m¹ | *κομεντων* V m³: + *της ανθυπατικης* (nur m¹ —*τιανης*) *ταξεως* B P² (nur dieser schreibt hier *κωμεντων*), > mehreres L; du Fresne, gloss. I, 692 welcher diese Stelle aus einer Hs. citirt (denn der einzige damals vorhandene Druck enthält sie nicht), nimmt ein neutrum *κομέντον* = *κομεντάριον commentarium* an und vergleicht *adiutor commentariorum* oder *commentariensis*. Seine Verweisung auf *κόμβεντος* sowohl hier als p. 693 zu *κόμεντον* verstehe ich nicht. Jedenfalls beweist der Zusatz in P² B und deren Lesart zu l. 22, dass sie *κομεντων* unglaublicher Weise von *κομης* hergeleitet haben | 15. *τω ενι . . . τω ετερω* V L: *τω διδασκαλω . . . τω μαθητη* P² | 17. *πολλα ασ. φ πρ.* V: *απειρα πληθη πραξεων πονηρων* c m¹ m², *απειρον πληθος φαυλων πραξεων* v, *plurima flagitia inventa sunt per facinora, quae perpetrarunt* L; nichts vergleichbares in P² | 18. *πλατος* V c m¹: *πληθος* m² v | 20. *αυτους*: *αυτος* V | 22. *και απηγγ.* — *ειπεν μοι* V: *μαθων ουν τουτο ο πρωτος των κομεντων συμπαθησας* (+ *μοι* m²) *ειπε(ν) μοι* P² B, *μαθων ουν ο αρχων το γεγονος διωκειν οπισω αυτων προετρεψατο με* m³, *quod iudex ut audivit, misertus hac lege mei est* L

τὸ γεγονός, καὶ αὐτὸς ἐλεῶν μου εἶπέν μοι· φύγε ἄθλιε καὶ δίωξον ὀπίσω αὐτῶν, ἐπεὶ κακῶς ἀποθνήσκεις. καὶ εἰ μὲν εὕρῃς αὐτούς, ἐπίστρεφε ἔχων αὐτούς· εἰ δὲ μὴ εὕρῃς αὐτούς, μὴ ἐπιστρέψῃς. ἐγὼ γὰρ οἶδα τὸν θυμὸν τοῦ ἄρχοντος, ὃν ἔχει κατ᾽ αὐτῶν. καὶ πάλιν τὸν ἀπόδεσμον τοῦ χρυσίου ἐπεδείκνυσεν αὐτοῖς λέγων· ταῦτα οὖν ἀναλώματα λαβὼν ἐξῆλθον· ἰδοὺ καὶ αἱ καταθέσεις αὐτῶν, καὶ ὑπεδείκνυεν αὐτοῖς τοὺς χάρτας τοὺς φανταστικούς, καὶ ἔλεγεν αὐτοῖς· ὅτι ἤκουσα ἀπὸ πολλῶν, ὅτι ἐνθάδε εἰσίν, καὶ διὰ τοῦτο παρεγενόμην ἐν τῇ πόλει ταύτῃ, καὶ γυναῖκα καὶ τέκνα καὶ οἶκον καταλιπὼν πελάζομαι δι᾽ αὐτοὺς εἰς ἀλλοδαπὴν γῆν· ἀλλὰ δέομαι ὑμῶν, φίλοι καλοί, ἐλεήσατέ μου τὴν ξενίαν. εἶπαν δὲ πρὸς αὐτὸν οἱ ταξεῶται· μηδὲν πράξεις κακὸν ἑαυτόν, φίλε· οἱ γὰρ μάγοι, οὓς σὺ ζητεῖς, ὧδέ εἰσιν. καὶ εἶπεν αὐτοῖς ὁ δαίμων· φοβοῦμαι, μὴ διὰ μαγικῆς κακοτεχνίας φύγωσι καὶ ἔνθεν· ἀλλὰ τοῦτο ποιήσατε, φίλοι καλοί, καὶ ἀποκλείσατε αὐτοὺς καὶ μηδεὶς γνώσει, καὶ θανατώσατε αὐτοὺς καὶ λάβετε ταῦτα τὰ ἀκολουθήσαντά μοι χρήματα. οἱ δὲ εἶπον πρὸς αὐτόν· συμφέρει σοι μᾶλλον, ἵνα κρατήσωμεν αὐτοὺς καὶ παραλάβῃς αὐτούς· ἐπεὶ ἐὰν θανατώσωμεν αὐτούς, πῶς ἐπιστραφῇς εἰς τὴν ἰδίαν πατρίδα; ὁ δὲ εἶπεν αὐτοῖς· ἀποκτείνατε αὐτούς, φίλοι μου, καὶ οὐ θέλω ἰδεῖν τὴν ἐμὴν πατρίδα. οἱ δὲ συνέθεντο αὐτῷ ἀποκτεῖναι ἡμᾶς καὶ λαβεῖν τὴν φαντασίαν τῶν χρημάτων.

Ἔγνω οὖν ὁ Ἰωάννης τῷ πνεύματι ἅπερ ἔπραττεν καθ᾽ ἡμῶν ὁ ἀκάθαρτος δαίμων καὶ εἶπεν πρός με· τέκνον Πρόχορε,

2. *διωξον* V: *διωκε* B, *καταδιωκε* P^2 | 3. *ευρης* V P^2: *ευρεις* m^1 m^2 v, *ευροις* c | *επιστρεφε εχ. αυ* V B (nur m^2 *υποστρεφε*): *αγαγε μετα σου* P^2 | *ει — αυτους* V B (*ευροις* c, *αυτους* > c m^1 v): *ει δε μηγε* P^2 | 4. *μη επ.* V: *μηδε σοι υποστρεψης* P^2, *μηδε* (c v, *μητε* m^1 m^2) *συ ενθαδε φανης* (c, *φανεις* v, *φανης ενθ.* m^1 m^2) B | *οιδα — αυτων* V L: *εγω γαρ οιδα τον θυ. τ. αρχ.* c m^2 v, ähnlich m^1, > P^2 | 5. *τον αποδ. — μαλλον* l. 19 V: P^2 giebt eine durch B L nicht bestätigte Umarbeitung | *επεδεικνυσεν* V: *υπεδεικνοιεν* P^2, ganz anders B | 7. *υπεδεικνυεν* V: *εδεικνυεν* c m^2 v, *δεικνυων* m^1, den Satz > P^2 | 12. *ξενιαν* V: *ξενιτειαν* B | 13. *πραξεις κ. εαυτων* (sic) *φιλε* V: *πραξεις κατα σαυτου φιλε κακον* m^3, *μηδεν* (*μη* m^1) *αθυμησης* (*-μει* m^1) *φιλε* B, *nihil tibi mali . . facias neque te maceres dolore* L, *ευθυμησον φιλε καλε και μη λυπου* P^2 | 16. *αποκλεισατε* P^2 B L *(cogite)*: *αποκτεινατε* V | *και μ. γν.* V: *μηδενος ειδοτος* B (c m^1 v × *εις οικον*), *εν τοπω τινι μηδενος γινωσκοντος* P^2 | 23. *κ. λαβειν την φαντ. τ. χρ.* V B (c v + *παρ᾽ αυτου* nach *λαβειν*, *παρα του* Amphil.): > P^2

γινώσκειν σε βούλομαι καὶ ἑτοιμάζειν τὴν ψυχὴν εἰς πειρασμόν, ὅτι πολὺν κονιορτὸν καὶ θλῖψιν καθ᾽ ἡμῶν ἐγείρει ὁ προσπαραμένων δαίμων τῷ βωμῷ τῆς Ἀρτέμιδος· ἰδοὺ γὰρ διήγειρεν καθ᾽ ἡμῶν δύο ταξεώτας διδάξας αὐτοὺς κακὰ περὶ ἡμῶν, καὶ ἐγνώρισέν μοι ὁ θεὸς πάντα τὰ λαληθέντα ὑπὸ τοῦ δαιμονίου πρὸς αὐτούς. ἀνδρίζου οὖν καὶ ἑτοιμάζου πρὸς ταῦτα. καὶ ταῦτα λαλοῦντος τοῦ Ἰωάννου πρός με, ἐλθόντες οἱ ταξεῶται ἐκράτησαν ἡμᾶς. ὁ δὲ Διοσκορίδης τότε οὐκ ἦν μεθ᾽ ἡμῶν. ὁ οὖν Ἰωάννης εἶπεν πρὸς τοὺς ταξεώτας· ἐπὶ ποίᾳ αἰτίᾳ κράτησιν ἡμῶν ποιεῖσθε; οἱ δὲ εἶπον· ἐπὶ μαγικῇ κακοτεχνίᾳ. ὁ δὲ Ἰωάννης εἶπεν πρὸς αὐτούς· καὶ τίς ὁ κατήγορος ἡμῶν; οἱ δὲ εἶπον· ἀχθήσεσθε τέως ἐν τῇ φυλακῇ καὶ μέλλετε θεωρεῖν καὶ τὸν κατήγορον ὑμῶν. ὁ δὲ Ἰωάννης εἶπεν· οὐ δύνασθε ἡμᾶς βιάζεσθαι, ἐὰν μὴ κατὰ πρόσωπον ἡμῶν ἔχητε τοὺς κατηγόρους. οἱ δὲ ἤρξαντο ῥαπίζειν αὐτόν, καὶ σύροντες ἡμᾶς ἀπήγαγον ἐν οἴκῳ ἰδιάζοντες ὥστε ἀποκτεῖναι ἡμᾶς κατὰ τὴν ὑπόσχεσιν τοῦ δαίμονος. δραμοῦσα δὲ Ῥωμάνα ἀπήγγειλεν τῷ Διοσκορίδῃ. καὶ εὐθέως δραμὼν ἦλθεν καὶ ἀπέλυσεν ἡμᾶς, καὶ λόγους σκληροὺς εἶπεν πρὸς τοὺς ταξεώτας λέγων· οὐκ ἔξεστιν ὑμῖν ἀνθρώπους ἀναιτίους μὴ ὄντος κατηγόρου φυλακίζειν, μάλιστα μηδὲ ἐν τῷ φανερῷ, ἀλλ᾽ ἐν οἴκῳ

1. *και ετ.* V B: *ινα ετοιμασεις* P^2 | *ψυχην* V: + *σου* B P^2 | 2. *πολυν* B: *πολλην* V P^2 (dieser aber *θλιψιν και κον.*) | *εγειρει* V: *ηγειρεν* P^2, *κινει* B | 3. *δαιμων* hier V B: *ο δαι* vor *ο προσπ.* P^2 | 4. *διηγειρεν* V c m^1 m^2: *ηγειρεν* P^2 v | 5. *και εγν. — αυτους* V cf B L: *και ο κυριος ημων Ιησους Χριστος παντα εγνωρησεν μοι* P^2 | 6. *ανδρ. — ταυτα* V, erweitert in L: > P^2 B | 8. *ο δε — ημων* V L: > P^2 B | 9. *επι* V c m^1: *εν* P^2 m^2 v | 10. *κρ. ημ. ποιεισθε* V: *την κρ. ημ. εποιησασθε* P^2 c m^2 v, *ημας εκρατησατε* m^1 | 11. *τις* V B L: *που εστιν* P^2 | 12. *τεως* P^2 B: > V | 13. *θεωρειν* hier V B (c *ιδειν*, c m^1 m^2 > das folgende *και*): hinter *υμων* P^2 | 14. *βιαζεσθαι* V: *βιασασθαι* P^2 B | *εαν — κατηγορους* V B (*ημων* hinter *κατηγ.*): *ανευ κατηγορου* P^2, > L | 15. *ηρξαντο — και* V L: *ραπιζοντες και* P^2, *εραπιζον τον Ιω. και* c m^2 v, *ραπιζοντας αυτον* m^1 | 16. *εν οικω ιδιαζοντες* V: *εν οι. ιδιαζοντως* m^2 v, *in domum cuiusdam civis* (*ιδιαζοντος*) L, *εν οι. ιδιαζοντι* c m^1, *εν ιδιαζοντι τοπω* P^2 (dieser × *ουχι εν φυλακη αλλ᾽*, ähnlich B) | *ωστε* V B: *προς το* P^2 | 17. *υποσχεσιν* V v m^3 (+ *ην προς τον δαιμονα εποιησαντο* cf L): *υποθεσιν* P^2 c m^2, *υποθηκην* m^1 | *δραμ. δε P.* V: *ταυτα ακουσασα η P. και δραμουσα* P^2, ähnlich B (v > *και δραμ.*) L | 20. *ουκ. εξ. — αποκτειναι αυτους* V, wesentlich ebenso B cf L: *οτι ον τροπον ηβουληθηται λαθρα αποκτειναι αθωους ανδρας, μη ουτως προ προσωπου αυτων των κατηγορων ταυτην την δικην υμεις πεισεσθε* P^2

ἰδιάζοντι ὥστε ἀποκτεῖναι αὐτούς. ἰδοὺ οἱ ἄνδρες οὗτοι ἐν τῷ οἴκῳ μου εἰσίν· εἴ τις ἔχει τι κατ᾽ αὐτῶν, ἐλθάτω καὶ λαβέτω αὐτοὺς καὶ κατὰ τοὺς νόμους κριθήσονται. οἱ δὲ ταξεῶται εἶπον πρὸς ἑαυτούς· ἀπέλθωμεν, λάβωμεν τὸν κατήγορον καὶ οὕτως δυνησόμεθα δίκαια λέγειν πρὸς αὐτούς. ὁ γὰρ Διοσκορίδης ἐν τῷ πράγματι αὐτῶν ἑαυτὸν ἐντάξας σκληρός ἐστι πρὸς ἡμᾶς. ἔρχονται οὖν οἱ ταξεῶται ἐπὶ τὸν τόπον, ἐν ᾧ ὁ δαίμων ἐκαθέζετο, ὁ λεγόμενος ταξεώτης, καὶ οὐχ εὗρον αὐτόν. εἰς πένθος οὖν ἀφόρητον ἐλθόντες ἐκαθέσθησαν ἐν τῷ τόπῳ ἐκείνῳ λέγοντες· οὐαὶ ἡμῖν, τί ποιήσωμεν, ὅτι ὁ ἄνθρωπος ἐκεῖνος οὐκ ἔστιν ἐνθάδε. καὶ ἐὰν εὑρεθῶμεν πρὸς Διοσκορίδην ἄλλως λέγοντες, ἀκριβείας πολλῆς μετέχει ὁ ἀνήρ, καὶ μήποτε κακῶς ἡμῖν χρήσεται καὶ ὀλέσει ἡμᾶς. καὶ ὡς ταῦτα ὡμίλουν, ἔρχεται ὁ δαίμων πρὸς αὐτοὺς τῷ αὐτῷ σχήματι καὶ λέγει αὐτοῖς· ἀμελεῖς ἐγένεσθε, ὦ φίλοι μου περὶ τὸ πρᾶγμα. καὶ ἐξηγήσαντο αὐτῷ πάντα ὅσα ἐποίησαν, καὶ ὅτι ὁ Διοσκορίδης ἔλαβεν αὐτοὺς ἀφ᾽ ἡμῶν· ἐὰν οὖν ἔρχῃ μεθ᾽ ἡμῶν, ἀποληψόμεθα αὐτούς. ὁ δὲ δαίμων εἶπεν πρὸς αὐτούς· ἄγωμεν. καὶ ἐπορεύετο ὁ δαίμων ὀπίσω αὐτῶν κλαίων, καὶ συνήχθησαν ὄχλοι πολλοὶ περὶ αὐτῶν, καὶ ἐξηγήσατο πᾶσιν ἅπερ ἐξηγήσατο τοῖς ταξεώταις, οἱ δὲ ταξεῶται προσεμαρτύρουν αὐτῷ. καὶ θυμοῦ πλησθέντες ἅπαντες ἔδραμον ἐπὶ τὴν οἰκίαν Διοσκορίδους — οἱ δὲ πλείονες ἦσαν Ἰουδαῖοι — καὶ διακρούσαντες τὰς θύρας τῆς εἰσόδου ἤρξαντο κράζειν· Διοσκο-

1. *οι ανδρες* V B L: > P^2 | 2. *τι* V P^2 v: > c m^1 m^2 | *ελθατω* V: *ελθετω* P^2 B | 3. *τους ν.* V L: *τον νομον* P^2 B | *κριθησονται* V m^2 v: *κριθητωσαν* P^2 c m^1 | *οι δε ταξ.* V B L: *και λαβων ημας διωσκοριδης απηγαγεν εις τον οικον αυτου* × P^2, ähnlich m^3 | 4. *ειπον — αυτοις* l. 15 V, etwas kürzer L, cf auch m^3 Amphil. p 17 extr.: *απελθοντες και μη ευροντες τον δαιμονα εις εν* (sic) *ω εκαθεζετο τοπω, εν αμηχανια και θλιψει κατειχοντο, λεγοντες· ουαι ημιν οτι του κατηγορου μη ευρισκομενου ως συκοφανται παρα του Διωσκοριδους ευρισκομεθα και απολεσει ημας. και ταυτα αυτων λεγοντων επεστη αυτοις ο δαιμων εν τω αυτω σχημα* (sic) *λεγων* P^2, einiges ähnliche in B | 15. *εγενεσθε* V: *γεγονατε* P^2, *fuistis* L, den Satz > B | *το πραγμα και* V: *του πραγματος και ιδου εγω ο ταλαιπωρος κινδυνευω. οι δε* P^2, wovon auch B L nichts. So im Folgenden häufig | 20. das erste *εξηγησατο* m^2: *εξηγησα* (sic) V, *εξηγειτο* c m^1 v | 23. *Διοσκοριδου* V | *οι δε — Ιουδ.* V L m^3 (*ησαν δε οι πλειους Ιουδ.*): > P^2 B | *διακρ.* V B: *καταστρεφοντας* (!) P^2, *πετασσοντες* m^3 | 24. *τας θυρας τ. εισ.* V: *τας θυρας* m^3, *τους πυλωνας* P^2 B | *Διοσκ.* zweimal P^2 m^3: einmal V, > B L

ρίδη, Διοσκορίδη, πρὸς πόλιν ἔχεις, ἢ παράδος τοὺς μάγους. ἡ πᾶσα πόλις ἐκβοᾷ, καὶ ἐμπρήσομέν σε πυρὶ καὶ πάντα τὰ σὰ ἀπολέσομεν καὶ σὲ καὶ τὸν υἱόν σου καὶ τοὺς μάγους. δὸς τοὺς κακούργους καὶ τοὺς μάγους. ἡγούμενος πόλεως ὤν, διὰ τί πονηροὺς καὶ ἐμπαίκτας ἄνδρας περιποιῆσαι; ὁ δὲ Ἰωάννης ἰδὼν τὴν ἔνστασιν καὶ τὸ πολὺ πλῆθος εἶπεν πρὸς Διοσκορίδην· ἡμεῖς οὔτε χρημάτων ἀντιποιούμεθα οὔτε σωμάτων. τὸ ἀποθανεῖν καὶ τὸ ἀπολέσαι τὰ χρήματα ἡμεῖς ἐδιδάχθημεν παρὰ τοῦ ἡμῶν διδασκάλου καὶ κυρίου, καθ᾽ ἡμέραν ἐπιφέρεσθαι τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθεῖν αὐτῷ. ὁ δὲ Διοσκορίδης εἶπεν πρὸς Ἰωάννην· ἰδοὺ ἡ οἰκία μου ἀφθήτω, καὶ ἐγὼ καὶ ὁ υἱός μου ὁλόκαυστοι γενώμεθα ἐν αὐτῇ, καὶ πάντα τὰ ἡμῶν ἀπολέσθω μόνον Χριστοῦ ἐπιτύχωμεν. ὁ δὲ Ἰωάννης εἶπεν πρὸς αὐτόν· οὔτε σοῦ οὔτε τοῦ υἱοῦ σου οὔτε τῶν σῶν μία θρὶξ οὐκ ἀπολεῖται. παράδος ἡμᾶς τοῖς ἀνθρώποις τούτοις. ὁ δὲ Διοσκορίδης εἶπεν· εἰ ὑμᾶς παραδώσω, καὶ τὸν υἱόν μου παραδίδωμι μεθ᾽ ὑμῶν. ὁ δὲ Ἰωάννης εἶπεν πρὸς αὐτόν· τὸ σύστημα τοῦ λαοῦ τούτου εἰς ἀγαθὸν ἄγει τοὺς πλείστους αὐτῶν· σὺ δὲ καὶ ὁ υἱός σου ἡσυχάσατε ἐν τῷ οἴκῳ ὑμῶν καὶ ὄψεσθε τὴν δόξαν τοῦ θεοῦ.

1. *προς π. ε.* V m^3: > P^2 B L; die misverständlichen Worte („mit der Stadt hast du es zu thun, oder") bringt P^2 später nach | *ἤ* V c m^1 m^3 L: > P^2 m^2 v | 2. *η πασα — μαγους* l. 4 V: *η και σε και τον υιον σου και τους μαγους καταναλοσωμεν, η πολις βοα· δος τους κακουργους* m^3 cf L, welcher *εβοα* las und die Worte nicht als Bestandtheil der Rede erkannte; *η και* (c m^1, *η* v, *επει* m^2) *σε* (+ *κακως* v) *και τον οικον* (*παντας τους εν τω οικω* v) *σου πυρικαυστους ποιησομεν* B, > P^2 der auch weiterhin sehr abweicht | 4. *ηγουμ. — περιποιησαι* l. 5 V m^3 (> *και εμπαικτας* und schreibt *περιποιει* s. hierüber zu p. 19, 1): *προυχων γαρ ων την πολεως ουκ οφειλεις τοιουτων ανθρωπων ανοσιων αντιλαμβανεσθαι* B (mit wenigen Varianten), ganz anders P^2 | 7. *το αποθ. — ημεις* V: > P^2 B, dafür *nobis enim vita est Christus et mori lucrum* L; undeutlich Amphil über m^3 | 8. *εδιδ* V L: *γαρ* + B m^3, nichts vergleichbares in P^2 | 14. erstes *σου* m^3: *του σου* V, *συ* B | 16. *ει* (geschrieben *η*) V: *εαν* m^3, *si* L | *και τ. υιον μ.* V L (*etiam tradam* etc.): > m^3 | 18 *το συστημα* V P^2: *το συστρεμμα* B. *η επισυστασις* m^3 | *εις αγαθον — αυτων* V B (*πλειονας*): *σωτηριαν τοις πλειστοις αυτων προξενησει* m^3, *εις αγαθον εργον αγει ο κυριος* P^2, diese Fassung des *συστημα* als Accusativ und in concretem Sinn auch in L, aber daneben die richtige: *caterva haec populi ad bonum congregata est, et haec congregatio ad bonum perducet plurimos*

Καὶ κατήγαγεν ἡμᾶς ἐκ τοῦ οἴκου αὐτοῦ, καὶ παρέλαβον ἡμᾶς ἐπὶ τὸ ἱερὸν τῆς Ἀρτέμιδος. καὶ λέγει Ἰωάννης πρὸς τοὺς ἄνδρας τοὺς κρατοῦντας ἡμᾶς· ἄνδρες Ἐφέσιοι, τί ἐστιν οὗτος ὁ ναός; οἱ δὲ εἶπον πρὸς αὐτόν· τὸ ἱερὸν τῆς μεγάλης Ἀρτέμιδος. καὶ εἶπεν πρὸς αὐτοὺς ὁ Ἰωάννης· μικρὸν ἐπιστῶμεν ἐν τῷ τόπῳ τούτῳ, ὅτι πολὺ χαίρω καὶ χαρήσομαι διὰ τοῦ ἱεροῦ τούτου. οἱ δὲ ἐπέστησαν ἐν τῷ τόπῳ, καὶ ἀναβλέψας Ἰωάννης ὁ ἀπόστολος τοῦ Χριστοῦ εἶπεν· καταπέσοι, κύριε Ἰησοῦ Χριστέ, τὸ ἱερὸν τοῦτο, ἄνθρωπος δὲ μὴ ἀποθανέτω ἐν αὐτῷ. καὶ εὐθέως ἐπὶ τῷ λόγῳ Ἰωάννου κατέπεσεν τὸ μιαρὸν ἱερὸν τῆς Ἀρτέμιδος. καὶ εἶπεν Ἰωάννης τῷ δαίμονι τῷ ἐνοικοῦντι ἐν τῷ ναῷ τῆς Ἀρτέμιδος· σοὶ λέγω τῷ δαίμονι τῷ ἀκαθάρτῳ, ὁ οἰκῶν ἐν τῶ ἱερῷ τούτῳ τί ἐστιν; καὶ εἶπεν ὁ δαίμων μετὰ φόβου καὶ τρόμου· ἡ μεγάλη Ἄρτεμις. ὁ δὲ ἀπόστολος εἶπεν πρὸς αὐτόν· πόσα ἔτη ἔχεις ἐν τῷ τόπῳ τούτῳ οἰκῶν; καὶ εἶπεν αὐτῷ ὁ δαίμων· διακόσια τεσσαράκοντα ἔννεα. καὶ εἶπεν πρὸς αὐτὸν Ἰωάννης· σὺ εἶ ὁ τοὺς ταξεώτας ἐγείρων καθ᾽ ἡμῶν; καὶ εἶπεν ὁ δαίμων· ναί. καὶ ἔφη αὐτῷ Ἰωάννης· παραγγέλλω σοι ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου, τοῦ λοιποῦ μὴ κατοικῆσαι ἐν τῷ τόπῳ τούτῳ. καὶ εὐθέως ἐξῆλθεν ὁ ἀκάθαρτος δαίμων ἀπὸ τῆς πόλεως Ἐφέσου, καὶ πάντες ἐθαύμασαν ἐπὶ τούτῳ. καὶ συναθροίζονται πάντες

1. Hier beginnt das Probestück von B in Beil. B II. In P^2 folgt eine schwülstige Umarbeitung ohne Analogie in m^3 B L | 8. *καταπεσοι* m^3 (aber nach *Χριστε*): *καταπεσει* V, *καταπεσσιντο τα της πονηριας αγαλματα κτλ.* P^2 | 9. *αποθανετω* V: *αποθανη* m^3, *αποθανειτω* P^2 | 10. *επι* (*συν* P^2) *τω λογω Ιω.* V P^2 L: > m^3 | 11. *μιαρον* V L (*profanum*): > m^3, unvergleichbar P^2 | 12. *τω δαιμονι — αποστολος* V: *ακαθαρτον πνευμα το προσπαραμενον τω βομω της Αρτεμιδος. και ο δαιμων στενων και τρεμων εφη· τι εστιν. και ο αποστολος* P^2 (cf B). Auch m^3 hat das *τι εστιν* dem Dämon in den Mund gelegt, was nach dem Sturz des Tempels läppisch und mit seiner Todesangst unverträglich ist. Uebrigens trägt P^2 in seiner Weise bald die Frage des Johannes nach: *και τι το ονομα σοι; ο δε ειπεν· απαταιων.* L > alles dies | 19. *παραγγελλω* B m^3: *παραγγελω* V P^2 | 20. *του λ. μη κατ.* V m^3 (*τ. λοιπου* am Ende) L: *μηκετι οικησαι* B P^2 (*οικεις*) | 21 *Εφεσου* V L: > P^2 m^3 B | 22. *και παντες — ημερας τρεις* p. 44, 10 V und in allem wesentlichen L: die hiervon durchweg abweichende Darstellung in P^2 hat wenige Berührungen mit B (Beilage B II) z. B. zu Anfang: *θαμβος δε περιεσχεν παντας και τρομος. και οι μεν κραζοντες ελεγον· μεγας ο θεος των Χριστιανων κτλ.* —; sodann fehlt auch in P^2 der Bericht von dem

ἐν τόπῳ ἑνὶ καὶ εἶπαν πρὸς ἑαυτούς· τί ἐστιν τὸ γενόμενον ὑπὸ τοῦ ἀνθρώπου τούτου; οὐκ οἴδαμεν, ἃ λέγωμεν. παραδώσωμεν αὐτὸν τοῖς πολιτάρχαις καὶ κατὰ τοὺς νόμους τιμωρείσθω. εἷς δὲ ἐξ αὐτῶν ὀνόματι Μαρεών, Ἰουδαῖος τυγχάνων, ἀποκριθεὶς εἶπεν· ἐγὼ καὶ τοῦτον καὶ τὸν μετ᾽ αὐτοῦ λέγω ὅτι μάγοι εἰσὶν καὶ κακῶν ἔργων αἴτιοι, καὶ ὡς κακοῦργοι ἀπολέσθωσαν κακῶς. καὶ εἰπάν τινες τῶν περιεστώτων καὶ κυκλωσάντων ἡμᾶς πρὸς τὸν Μαρεῶνα· κἂν κακοῦργοί εἰσιν, διὰ νόμων ἐξετασθέντες παραδοθήσονται κακῶς. ὁ δὲ Μαρεὼν ἤθελεν πρὸ τοῦ παραδοθῆναι ἡμᾶς τοῖς πολιτάρχαις διεγεῖραι καθ᾽ ἡμῶν τὸν ὄχλον, ὅπως ἀποκτείνωσιν ἡμᾶς. οἱ δὲ ὄχλοι οὐκ ἠνέσχοντο οὐδὲ ἐπείσθησαν αὐτῷ. ἄγουσιν ἡμᾶς πρὸς τοὺς πολιτάρχας καὶ παραδιδοῦσιν ἡμᾶς. οἱ δὲ πολιτάρχαι εἶπαν πρὸς αὐτούς· ἐν ποίᾳ αἰτίᾳ τοὺς ἄνδρας τούτους παραδίδοτε ἡμῖν; οἱ δὲ εἶπαν· ἐπὶ μαγικῇ κακοτεχνίᾳ. οἱ δὲ πρὸς αὐτούς· τί ἐποίησαν μαγικῆς ἐνεργείας. ὁ οὖν Μαρεὼν παραστὰς ἐδίδαξεν, ὅτι καὶ ταξεώτης ἀπὸ τῆς πατρίδος αὐτῶν παραγενόμενος καὶ ἀναζητήσας αὐτοὺς ἐπεδείκνυεν καὶ τὰς καταθέσεις αὐτῶν. οἱ δὲ πολιτάρχαι εἶπαν πρὸς τὸν Μαρεῶνα· οὗτος οὖν ἐλθὼν διδαξάτω ἡμᾶς μετὰ ἀληθείας τὰ περὶ αὐτῶν, οὗτοι δὲ βληθήσονται ἐν τῇ φυλακῇ, ἕως ἂν ἐκεῖνος ἐλθὼν τὴν ἅπασαν ἀλήθειαν εἴπῃ περὶ αὐτῶν. καὶ ἀπήγαγον ἡμᾶς ἐν τῇ φυλακῇ, ἀσφαλισάμενοι ἡμᾶς σιδήρῳ ἐν ἐσωτέρῳ οἴκῳ. ὡς δὲ πᾶσαν τὴν πόλιν περιεκύκλωσαν πάντες οἱ ὄχλοι ζητοῦντες τὸν δαίμονα τὸν λεγόμενον ταξεώτην καὶ διὰ κηρύκων προσκαλού-

dreitägigen Aufenthalt am Meeresstrand. P³, welcher schon von p. 40, 16 an einen stark gekürzten Text u. z. B. nichts vom Tempelsturz giebt, lenkt hier in die Recension B ein: *οι δε οχλοι οι μεν επιστευον αυτοις, οι δε ηπιστουν, επιστευσαν δε τω θεω, οσοι ησαν εν μετρω ζωης. οι δε λοιποι εκρατησαν ημας εχοντες συνεργον τινα Ιουδαιον Μαρεωνα κτλ.* bis *απελυσεν ημας* p. 44, 6. Vollends m³ geht von dem Satz *ἐξῆλθεν ο δαιμων απο της πολεως* (hier oben p. 42, 21) mit den Worten *οι ουν οι* (?) *ανθρωποι εκπλαγεντες επι τουτοις απελυσαν ημας* zu p. 44, 6 fort | 4. *Μαρεων* P² V (von der dritten Anführung an constant, hier u. l. 9 *Μαραιων*) P³ (acc. *Μαρεῶνα*, aber später *Μαρεωνας* nomin.) v; *Μαραιων* m¹ c (V s. vorher), *Μαρων* m², *Marnon* L. Auf *ων* accentuirt meines Wissens in allen Hss. ausser m². Es klingt wie ein Ortsname. P² allein macht ihn zu einem *ειδωλολατρης και μαγος* | 13. *τους πολιτ.* V, der erst p. 44, 3 den Singular hat: *iudici* L; in B wechselt *ο ανθυπατος, οι αρχοντες, ο αρχων*, P² verbindet so: *τω ηγεμονι και τοις αρχουσι της χωρας εκεινης* | 14. *παραδιδοτε*: *παραδιδεται* V, ich wagte nicht *παραδιδετε* und folgerichtig l. 13 *παραδίδουσιν* zu schreiben

μενοι αὐτόν. καὶ μὴ εὑρόντων αὐτὸν ἦλθον μετὰ τρεῖς ἡμέρας πρὸς τὸν πολιτάρχην λέγοντες· οὐχ εὕραμεν τὸν ἄνδρα τὸν ἀληθῆ ἐπιστάμενον τὰ περὶ αὐτῶν. ὁ δὲ πολιτάρχης εἶπεν· ἀνθρώπους ξένους τῶν κατηγόρων αὐτῶν μὴ ὄντων καὶ ἐγγραφομένων αὐτοὺς οὐ δύναμαι κρατεῖν ἐν τῇ φυλακῇ. ἀποστείλας οὖν ὁ πολιτάρχης ἀπέλυσεν ἡμᾶς μετὰ δαρμῶν καί ἀπειλῶν παραγγείλας ἡμᾶς μὴ διδάσκειν ἐν τῇ πόλει Ἐφέσῳ ἐπὶ τῇ διδαχῇ ταύτῃ, καὶ ἐκβαλόντες ἡμᾶς ἐδίωκον ἀπὸ τῶν ὁρίων αὐτῆς. καὶ ἤλθομεν ἐν τόπῳ Μαρμαρέοντι, ὅπου Ἰωάννης κατεβράσθη ἀπὸ τῆς θαλάσσης, καὶ ἐμείναμεν ἐκεῖ ἡμέρας τρεῖς. καὶ ὁ κύριος Ἰησοῦς Χριστὸς ἐν ὀπτασίᾳ εἶπεν τῷ Ἰωάννῃ· Ἰωάννη. ὁ δὲ εἶπεν· τί ἐστιν κύριε; ὁ δέ κύριος πρὸς αὐτόν· εἴσελθε ἐν τῇ Ἐφέσῳ, ὅτι μετὰ τρεῖς μῆνας μέλλεις ἐν ἐξορίᾳ ὑπάγειν ἐν νήσῳ, ἥτις πολλά χρήζει σου, καὶ πολλὰ πειρασθήσῃ, καὶ πολλὰ κατασπείρῃς ἐκεῖ. καὶ εὐθέως εἰσήλθαμεν ἐν Ἐφέσῳ, καὶ κατεστράφη τὰ λοιπὰ ἱερὰ καὶ οὐκ ἔτι ἦν ἱερὸν αὐτῶν.

Ταῦτα πάντα ἐποίησεν Ἰωάννης πρὸ τοῦ αὐτὸν ἐξορισθῆναι ἐν Πάτμῳ τῇ νήσῳ, καὶ ταῦτα πάντα ἔπαθεν ὑπὸ Ἰουδαίων καὶ Ἑλλήνων, τοῦ διαβόλου ἐγείροντος αὐτοὺς καθ᾽ ἡμῶν·

1. *αυτον*: *αυτων* mit darübergeschriebenem *ο* V | 2. *τον αληθη* (geschr. *αληθει*) *κτλ.* V: *qui vere maleficia eorum agnoscit* L | 6 *μετα δαρμων* — *τρεις* l. 10 V L (> *δαρμων* u. *Μαρμαρεοντι*): nichts davon in P[2] P[3] B m[3]. An die zu p. 43, 13 angeführten Worte schliesst P[2] an: *του δε ηγεμωνος πυνθανομενου· ποιαν αιτιαν φερεται κατ᾽ αυτων; απεκριναντο· επι μαγικη κακοτεχνια και επι καταστροφη του μεγαλου ναου της Αρτεμιδος. και παντων κραζοντων· εαν τουτους απολυσης ενθεν, ουκ ει φιλος του καισαρος· πολλα γαρ δεινα ενεδειξατο ημιν, αλλ᾽ αναγαγε περι αυτων τω καισαρι, οπως κακην κακως απολεσει αυτους εν διηνεκη εξορια. ταυτα ακουσας ο ηγεμων και φοβηθεις παρασιωπησαι τω πραγμα, ημας μεν εθετο εν φυλακη δημοσια τηρεισθαι εν ασφαλεια, τω δε βασιλει Αδριανω γραιψας επιστολην περιεχουσαν ταυτα* s. p. 45, 1. — P[3] hat nach *απελυσεν ημας* (l. 6 cf zu p. 42, 22) Folgendes: *ο ουν Μαρεωνας ουκ επαυσατο διεγειρων τους οχλους και διαβεβαιουμενος ως οτι μαγοι εσμεν και δια μαγικης κακοτεχνιας κατεπεσεν ο ναος της Αρτεμιδος, και παρηνωχλει αυτοις ωστε δηλα ταυτα ποιησαι τω βασιλει. πολλων δε και ετερων σημειων γινομενων δια των χειρων Ιωαννου κτλ.* wie B (s. Beilage B II) | 11—19. *και ο κυριος* — *καθ᾽ ημων* V: *sed nobis permissum Ephesum regredi* L. Darauf eine lange Episode (c. 8—11), welche ich in der Einleitung bespreche. Darauf erst c. 13: *postquam autem haec gesta sunt, apparuit dominus Joanni, dixit ei: te iterum oportet ingredi civitatem Ephesum et post tres menses mitteris exul in Pathmon* etc. wesentlich wie V bis l. 27. — An das *απελυσεν ημας* l. 6 (s. zu

οἵτινες καὶ ἀναφορὰν ἀπέστειλαν Τραϊανῷ τῷ βασιλεῖ οὕτως· Πάντες οἱ τὴν Ἐφεσίων πόλιν οἰκοῦντες δεόμεθα βοηθείας τῆς σῆς ἀπολαῦσαι, ἐπειδή τινες ἐκ τῆς Ἰουδαίας γῆς ὁρμώμενοι, οἷς ὀνόματα Ἰωάννης καὶ Πρόχορος, κατέλαβον τὴν ἡμετέραν πόλιν, καινήν τινα διδασκαλίαν κηρύσσοντες, οἳ καὶ διὰ μαγικῆς τέχνης τοὺς ναοὺς τῶν μεγίστων θεῶν κατέστρεψαν καὶ τὰ ἀρχαῖα

p. 42, 22) schliesst m³ Folgendes: μετα δε ταυτα ειπεν ο κυριος εν οπτασια τω Ιωαννη λαλησον παρρησια τοις Εφεσιοις. μελλεις γαρ μετ᾽ ολιγας ημερας εξορια παραπεμφθηναι, ενθα δαψιλεστερον κατασπειραι δυνηση τον του κηρυγματος λογον, και πολυχουν αμησαι τον καρπον των επεγνωκοτων με. παραυτικα δε ο Ιωαννης διαναστας επορευετο ανα την Εφεσον, πανταχου κηρυσσων παρρησια τον λογον και φωτιζων τους ανθρωπους και τα δαιμονια εκβαλλων. τουτων δε απελαυνομενων και τα ειδωλεια αυτων και τα αφιδρυματα κατεπιπτον. οι δε προστετηκοτες αυτοις Ελληνες και Ιουδαιοι υπογραφεις τω κινουντι αυτους γενομενοι δαιμονι ανηνεγκαν κτλ. In B u. P³ wird eine kurze Notiz über die Vision gleich darauf nachgetragen (Beil. B II). Auch P² bringt die Vision erst nach Ankunft des kaiserlichen Befehls, in folgender mit obigem Text theilweise identischer Form: εν αυτη δε τη νυκτι ορα ο Ιωαννης κατ οναρ τον κυριον ημων Ιησουν Χριστον, λεγων αυτω· Ιωαννη. ο δε ειπεν· τι εστιν κυριε; και ο κυριος προς αυτον· δει σε απελθειν εν νησσω ητις πολλα σου χρηζει, κακησε κηρυξεις το ονομα μου, και δια σου γνωσιν δεξεται ου μονον η νησος εκεινη, αλλα και πασα η περιχωρος αυτης. και πολλους κινδυνους και πειρασμους υπομενης. και πολλοι δια σου καταφευξονται επι τω ονοματι μου. μη ουν φοβηθεις μηδε δειλιασης, εγω γαρ μετα σου και ειμην και ειμι και εσομαι. και αποστολος του Χριστου λεγει· κυριε, και τις καλειται η νησος αυτη. ο δε κυριος προς αυτον. Πατμος η μεγαλη. και ο αποστολος εφη· γενοιτο κυριε το θελημα σου, και το ελεος σου εφ᾽ ημας, καθαπερ ηλπισαμεν επι σε. και σφραγισας ο σωτηρ ειπεν· ἡ χαρις μου μετα σου. αμην πρωϊας δε γενομενης κτλ. | 1. οιτινες — γενεσθαι p. 46, 2 V L (nur *Domitianus* statt *Traianus* und wegen seiner Episode folgende Einleitung: *pontifices vero et magistratus Ephesiorum iterum epistolam adversum nos scripserunt ad Domitianum talia continentem)*: eine Abkürzung in indirecter Rede geben B (Beil B II) u. P³; eine völlig abweichende Relation in directer Rede P² (ebenso wie in B P³ an Hadrian gerichtet); vergleichbar mit V L ist nur m³ abgesehn von dem Eingang (ανηγεγκαν καθ᾽ ημων γραψαντες ταυτα Αδριανω τω βασιλει· Τω γης και θαλασσης δεσποζοντι Αδριανω βασιλει. παντες κτλ.) | 2. Εφ. πολιν V: Εφεσον m³ cf L | βοηθειας — απολαυσαι V: *te nobis esse auxilio* L, του κρατους ημων (?) m³ | 3. επειδη V L: > m³ | οις V L: εστιν + m³ | 5. καινην m³ L: και νυν V | οι και V: *et* L, ουτοι m³ | τεχνης V: κατοτεχνιας m³, L entscheidet nichts | 6. και (της λατρειας ημων + m³) αρχ. εθη (εφη m³) κατελ. V m³: > L

ἔθη κατέλυσαν. ταῦτα οὖν γενόμενα παρ' αὐτῶν ἐγνωρίσαμεν τῷ σῷ κράτει, ἵνα κατὰ τὸ παριστάμενον κελεύσῃς γενέσθαι. Τραϊανὸς δὲ ὁ βασιλεὺς δεξάμενος τὴν ἀναφορὰν καὶ ἀναγνοὺς ἐθέσπισεν ἐξορισθῆναι ἡμᾶς, καταπέμψας τὴν πρόσταξιν ταύτην· Τραϊανὸς ὁ βασιλεὺς ἄρχουσι καὶ ἀρχομένοις. τοὺς ἀσεβεῖς καὶ πονηροὺς καὶ βεβήλους ἄνδρας, τοὺς τῶν Χριστιανῶν διδασκάλους, λέγω δὴ Ἰωάννην καὶ Πρόχορον, τοὺς εἰς τοὺς εὐεργέτας θεοὺς ἁμαρτάνοντας καθ' ἑκάστην ἡμέραν οὐ δίκαιον, εἶναι ἐν ἀνδράσι τοῖς τοὺς θεοὺς θεραπεύουσιν, ἀλλὰ τοὺς μακρύνοντας ἑαυτοὺς ἀπὸ τῆς βοηθείας τῶν θεῶν, τούτους κελεύομεν ἐν ἐξορίᾳ γενέσθαι, ὅτι πρῶτον μὲν — τὸ μέγιστον κακόν — τοὺς θεοὺς ἐνυβρίζουσιν, δεύτερον δὲ ὅτι τὸν νόμον κατεφρόνησαν καὶ βασιλέα οὐ τιμῶσιν. τούτους οὖν ἀτάκτως φερομένους κελεύσει θείᾳ ἐπιτρέπομεν οἰκεῖν αὐτοὺς ἐν Πάτμῳ τῇ νήσῳ, ὅπως διὰ τῆς πολλῆς θλίψεως τῆς εἰς αὐτοὺς γενομένης μνήμην ἔχωσιν τὴν πρὸς τοὺς μεγίστους θεούς, ὅπως διὰ τούτων καὶ πάντες οἱ λοιποὶ σωφρονισθῶσιν. ἡ ἡμετέρα τοίνυν κελεύει ἐξουσία, Ἰωάννην καὶ Πρόχορον τοὺς ἀποστάτας οἰκεῖν ἐν Πάτμῳ τῇ νήσῳ.

1. *ταυτα — κρατει* V cf L: *περι τουτων τω σω κρατει γνωριζομεν* m^3 | 2. *κατα το παριστ.* V: *το περισταμονον υμιν* m^3, *secundum tuum imperium de ipsis voluntatem tuam impleamus* L | 3. *Τραιανος — ταυτην* V: *visis ergo epistolis praecepit imperator, ut penitus exularent et rescripsit haec* L, *αναγνους δε ο βασιλευς την αναφοραν και θυμου πλησθεις εκελευσεν δεσμιους εξορισθηναι ημας εν Πατμω τη νησω* P^2, woran er mit Uebergehung des Rescripts das zu p. 44, 11 Citirte anschliesst cf B; von B emancipirt sich P^3 hier wieder (*γνους ουν ταυτα ο βασιλευς απεστειλε κελευσιν μετα δεκα προτικτορων περιεχουσαν ουτως*); m^3 *ο δε ταυτα δεξαμενος αντεγραψε ταδε* | 5. *Τραϊ. ο β.* V: *Αδριανος βασιλευς* P^3 m^3, *Domitianus Caesar* L | *αρχουσι* V m^3: *τε* + P^3 | *αρχομενοις* V P^3: + *Εφεσου* m^3 cf L | *τους — ανδρας* V cf L m^3 (*τ. πον. και ασ.* ohne *και βεβ.*): *τοις πονηροις — ανδρασι* dann aber *τους* etc. P^3 | 7. *τους εις* V P': *ως εις* m^3 | 8. *καθ' εκαστην* ohne *ημεραν* vor *αμαρτ.* m^3 | *ου — θεων* l. 10 V cf L (*non est aequum amplius in medio eorum versari, qui continuo deos sapienter honorant*): > P^3 m^3 | 11. *οτι κτλ.* V P^3 L: *εν Πατμω νησω* u. weiter nichts bis l. 19 m^3 | 12. *κακον* V: *και δεινον* P^3, den Zwischensatz > L | *τον νομον* V P^3 | 13. *κατεφρονησαν* V: *καταφρονουσι* P^3, *sunt contemptores* L | *ουν — αυτους* V: *κελευομεν οικειν* P^3, den Satz bis *οπως* > L | 15. *οπως — νησω* l. 19 V cf L: dagegen fällt P^3 aus der directen Rede heraus und geht wieder zu B über mit den Worten *τα δε περι της πολεως και του ναου και των αρχαιων θεσμων δι' ακριβεστερων διασκοπησαντες αναγαγειν αυτω* | 18 *κελευει* schreibe ich: *κελευσει* V

Τοῦ δὲ προστάγματος ἐπιφοιτήσαντος ἐν τῇ Ἐφεσίων πόλει, ἐκράτησαν ἡμᾶς οἱ ἀποσταλέντες ἀπὸ τοῦ βασιλέως καὶ περιέθηκαν σίδηρα τῷ διδασκάλῳ τῷ ἡμετέρῳ καὶ ἠσφαλίσαντο αὐτὸν ὠμῶς καὶ ἀνηλεῶς. ἔλεγον δὲ πρὸς αὐτοὺς οἱ Ἐφέσιοι περὶ Ἰωάννου· οὗτός ἐστιν ὁ πλάνος ὁ τὰς μαγείας ποιῶν. τοῦτον οὖν ἀσφαλῶς ἔχοντες περὶ τοῦ αὐτοῦ μαθητοῦ μὴ ἀδημονεῖτε, ἀλλ' ἔστω μεθ' ὑμῶν τροπωθεὶς λόγοις σκληροῖς καὶ πληγαῖς ἱκαναῖς· μὴ ἔστω δεδεμένος. ἦσαν δὲ οἱ παραλαβόντες ἡμᾶς ἄνδρες προτίκτορες δέκα καὶ στρατιῶται τεσσαράκοντα καὶ ἀμφοτέρων οἱ ὑπηρέται, οἱ πάντες δὲ ἦσαν τὸν ἀριθμὸν ἑκατόν. μετὰ οὖν τὸ ἀσφαλῶς ποιῆσαι ἐν τοῖς σιδήροις τὸν ἐμὸν διδάσκαλον καὶ ἀπόστολον τοῦ Χριστοῦ Ἰωάννην ἐκράτησαν καὶ ἐμέ· οὐ μέντοι δὲ ἔδησαν, ἀλλὰ πληγὰς πολλὰς ἐπέθηκάν μοι καὶ λόγους σκληρούς. ἀνελθόντων δὲ ἡμῶν ἐν τῷ πλοίῳ ἐκέλευσαν ἡμᾶς ἀνὰ μέσον τῶν στρατιωτῶν καὶ τῶν παίδων αὐτῶν καθέζεσθαι. ἐδίδετο δὲ τῷ ἐμῷ διδασκάλῳ καὶ ἐμοὶ καθ' ἡμέραν ἓξ ὀγκίαι ἄρτου καὶ ξέστης ὕδατος καὶ ὄξους

1. *του δε — βασιλεως* V cf L: *τουτου δη προσταγματος καταλαβοντος (?) εκτρατησαν (?) ημας οι απο βασιλεως* m^3, ganz abweichend P^2, mit B geht P^3 | 3. *τω διδ. τω ημετερω* V: L, der hier stark abkürzt, *nos Prochorum inquam et Joannem magistrum meum*, die andern sind unvergleichbar | 4. *ελεγον δε κτλ.* V: *ελεγεν δε προς αυτους Μαρεων ο μαγος και οι Εφεσιοι* P^2, den Soldaten legen die Rede in den Mund B P^3 L, > m^3 | 5. *πλανος* V L: *δεινος* × B P^2 P^3 | 6. *ουν* V P^3 (der hier wieder zur ersten Recension einlenkt): > P^2 | *αδημ.* (*αδιμονηται*) V: *αδημονουμεν* P^3, *μεριμνατε* P^2 | 7. *υμων* schreibe ich: *ημων* in V Schreibfehler, in P^2 berechtigt, den Satz > P^2 L | *τροπωθεις* V (—*πο*—): *τρομωθεις* P^3, in B nachher *τροπωσαμενοι* | 9. *ανδρες* V: > P^3 | *προτικτορες*: durchweg so in allen Hss, nur P^2 einmal *προτηκτορων* u. einmal *προκτητορες* | 10. *αμφοτ. οι υπηρ.* V: *υπηρεσια αμφοτερων πολλη* P^3 | *οι παντες — εκατον* V L (der nur diese letzte Zahlenangabe hat): > P^3, viel mehr > P^2 | 11. *ουν* V L: *δε* P^3 | *εν* P^3: *επι* V | 12. *του Χρ.* V: > P^3, breiter L | 13. *δε* V: > P^3 | 14. *μοι* P^3: *με* V | *λογους σκ.* V: *λογοις σκληροις ησφαλισαντο με* P^3, den Satz hat L auf Johannes bezogen | *ημων* V L: + *παντων* P^3 | 15. *εκελευσαν* P^2 (der hier wieder vergleichbar) cf L (*iusserunt milites*): *εκελευσεν* V P^3 | *ημας ανα μεσον* (*μεσω*) *τ. στρ. καθεζεσθαι* V: *ημας εκελευσαν μεσον τ. στρ. ειναι* P^2, *εντος μονους καθεζεθαι* P^3, *nos in medio navis consistere* L | 16. *εδιδετο* V (s. Al. Buttmann, Gr. des neut. Sprachg. 41 u. oben zu p. 43, 14): *εδιδοτο* P^3, *επεχορηγειτο* P^2 | *τω εμω — μια* V (nur *ιζ* statt *εξ*): *ημιν εξ ογκιαι α. κ. ξεστην υ. κ. κοτυλη οξος* P^2 cf B L (*sex uncias panis et breolum aquae et pauxillum aceti*), *ημιν καθ' ημεραν δυο λιτρες* (!) *αρτου και ξεστιον υδατος* P^3

κοτύλη μία. ὁ οὖν ἀπόστολος τοῦ Χριστοῦ Ἰωάννης ἐλάμβανεν ὡς νομίζω δύο ὀγκίας ἄρτου καὶ τὸ ὄγδοον τοῦ ξέστου ὕδατος, καὶ τὸ λοιπὸν παρεῖχέν μοι.

Τῇ οὖν τρίτῃ ἡμέρᾳ καθεσθέντες ἅπαντες οἱ βασιλικοὶ ἐπὶ ἀρίστου και πολυτέλειαν βρωμάτων ἔχοντες, ὁμοίως καὶ πομάτων, μετὰ τὸ φαγεῖν καὶ πιεῖν αὐτοὺς ἤρξαντο παίζειν καὶ φωνὰς καὶ κρότους ἀνακράζειν ἀτάκτως. καὶ ὡς ταῦτα ἐγίνετο παρ᾽ αὐτοῖς, εἷς τῶν στρατιωτῶν νεανίας ἀποδραμὼν πρὸς τὴν πρῶραν τοῦ πλοίου ἀπερρίφη εἰς τὴν θάλασσαν. ἦν δὲ τούτου ὁ πατὴρ ἐν τῷ πλοίῳ. καὶ κοπετὸς μέγας καὶ πένθος ἀφόρητον ἐγένετο ὑπὸ πάντων διὰ τὸν παῖδα. καὶ γὰρ ὁ αὐτοῦ πατὴρ ἠβουλήθη ἑαυτὸν ῥῖψαι ἐν τῇ θαλάσσῃ, καὶ οὐκ ἔασαν αὐτόν. οἱ οὖν δέκα προτίκτορες ἔρχονται, ἔνθα ἦν Ἰωάννης ἠσφαλισμένος κἀγὼ σὺν αὐτῷ, καὶ εἶπαν πρὸς αὐτόν· ἰδοὺ πάντες, ἄνθρωπε, πενθοῦμεν διὰ τὸ μέγιστον κακὸν τὸ ἐν ἡμῖν γενόμενον, καὶ πῶς σὺ ἐν ἀδείᾳ ὑπάρχεις καὶ οὐ πενθεῖς, ἀλλὰ καὶ εὐθομότερος ὑπάρχεις μετὰ τὸ γενέσθαι τὸ κακόν. ὁ δὲ Ἰωάννης εἶπεν· καὶ τί θέλετε ἵνα ποιήσω. οἱ δὲ εἶπαν· εἴ τι δύνασαι βοηθεῖν, βοήθει. ὁ δὲ Ἰωάννης εἶπεν πρὸς τὸν μείζονα

1. ο ουν — υδατος V: ο ουν . . . απαξ την εβδομαδα μετελαμβανεν το ογδοον του αρτου και του υδατος P^2, *Joannes vero in die duas panis sumebat uncias et octavam portionem aquae* L, τουτων βραχυ τι ελαμβανεν ο εμος διδ. Ιω. P^3 cf B | 3. και τ. λ. παρ. μοι V P^2 (> και) L *(reliquas)*: το δε παν εμοι παρειχε P^3 cf B | 4. τη ουν κτλ. V P^3 cf L: εν μια ουν των ημερων κτλ. sehr frei P^2, wieder anders m^3 (aber zu Anfang τη δε τριτη ημερα), noch anders B | 5. πολυτελειαν P^2 P^3: πολυτελειας V | 6. πιειν P^3 B m^1: ποιειν V | 7. ανακραζειν V: ανακραυγαζειν P^3 B, εποιουν m^3 | και ως τ. εγιν. V: ως ουν ταυτα εγενοντο P^3 | 8 εις V: τις + P^3, δε τις B | νεανιας V: νεανισκος P^3 B m^3 (dieser > εις στρατ.), τινα νεανιαν P^2 | προς την πρ. B: παρα την πρ. P^2, εις προρα (?) m^3, nur πρωρα V P^3 | 9. πλοιου V P^3 L m^1: δια χρειαν τινα × P^2, dasselbe + B | απερριφη V P^2: ερριφη P^3, επεσεν B, ερριψεν εαυτον m^3 | 11. υπο V: > P^3 | αυτου V: τουτου P^3 | 12. εαυτον — και V: ριψαι εαυτον εις την θαλασσαν και πνιγηναι συν τω υιω αυτου αλλ' P^3 | 13. ενθα V B: εν τω τοπω × P^3, so auch P^2 u. εν ω | ησφαλ. P^3 B: εισφαλισμ. P^2, εισφαλησμ. V | 14. καγω σ. αυ. V: και ημιν καγω συνκαθημενος αυτω P^3, > P^2 B L | ειπαν V: ειπον P^3 B, εφη P^2 | παντες — γενομενον V: ημεις πενθουμεν παντες δια το γενομενον εν ημιν κακον P^3, ähnlich P^2 B | 16. εν αδεια P^3: ευαδια V | αλλα — υπαρχεις V: περι τουτου αλλα μαλλον ευθυμοτερος εγενου P^3, abkürzend P^2 m^3 | 18. ινα V B: > P^2 P^3 m^3 | ειπαν V: ειπον P^2 P^3 B | τι P^2 P^3 B (ohne βοηθειν, so auch m^3): > V

αὐτῶν· ποῖον θεὸν σέβῃ; ὁ δὲ εἶπεν· τὸν Ἀπόλλωνα καὶ Δία καὶ Ἡρακλῆν. καὶ εἶπεν πρὸς τὸν δεύτερον· σὺ δὲ τίνα σέβῃ; ὁ δέ φησιν· Ἀσκλήπιον καὶ τὴν μεγάλην Ἄρτεμιν Ἐφεσίων. ὁμοίως δὲ ἅπαντας ἠρώτα, καὶ ἕκαστος τὴν οἰκείαν πλάνην ὡμολόγει. εἶπεν οὖν ὁ ἀπόστολος τοῦ Χριστοῦ· οἱ τοσοῦτοι θεοὶ ὑμῶν οὐκ ἴσχυσαν βοηθῆσαι καὶ παραστῆσαι ὑμῖν τὸν παῖδα καὶ ἀλύπους ὑμᾶς ποιῆσαι; καὶ εἶπον αὐτῷ οἱ προτίκτορες· ἐπειδὴ οὐ καθαρεύομεν τὰ πρὸς αὐτούς, διὰ τοῦτο ἡμᾶς τιμωροῦσιν. παρῆλθε δὲ ἐν τῷ μεταξὺ ὡς ὡρῶν τριῶν διάστημα ἀπὸ τῆς ἀπωλείας τοῦ παιδός. ὁ οὖν ἀπόστολος τοῦ Χριστοῦ Ἰωάννης ἐλυπήθη σφόδρα καὶ αὐτὸς ἐπὶ τῇ ἀπωλείᾳ τοῦ παιδὸς καὶ ἐπὶ τῷ πένθει πάντων, καὶ εἶπεν πρός με· ἀνάστα, τέκνον Πρόχορε, ἐπίδος μοι τὴν χεῖρά σου. καὶ ἀναστὰς ἐποίησα οὕτως, καὶ ἔστη ἐπὶ τῆς ἐξοχῆς τοῦ πλοίου καὶ διακρούσας τὰ σίδηρα καὶ στενάξας καὶ δακρύσας πικρῶς εἶπεν· θάλασσα, θάλασσα, εἶπεν ὁ υἱὸς τοῦ θεοῦ, ὁ ἐπὶ τῶν σῶν νώτων περιπατήσας, δι' ὃν καὶ τὰ σίδηρα ταῦτα βαστάζω ἐγὼ ὁ δοῦλος αὐτοῦ· παράδος τὸν παῖδα ὑγιῆ πρὸς ἡμᾶς. καὶ ἐπὶ τῷ λόγῳ Ἰωάννου βρασμὸς ἐγένετο καὶ ἦχος πολὺς τῆς θαλάσσης, ὥστε κινδυνεῦσαι πάντας τοὺς ἐν τῷ πλοίῳ, καὶ ὑψώθη

1. Δια P^3 m^3: Διαν V P^2 s. die Varianten zu B | 2. Ηρακλην P^2 P^3 B m^3: Ηρακλη V | και ειπεν — δε V, beinah so m^3: ο δε Ιω. ειπε προς ετερον· και συ P^3, και παλιν ο Ιω. εφη πρ. τον δευτερον· και σοι P^2 | 4. ομοιως — ωμολογει V cf L: ομοιως άπαντες την ιδιαν πλανην ωμολογουν P^3, ähnlich m^3 (+ ερωτηθεντες), και παντων καθεξης ομολογησαντων την πλ. αυτων κτλ. P^2 | 6. υμων V (vor θεοι P^2 B): > P^3 m^3 | βοηθησαι και V L: > P^2 P^3 B m^3 | υμιν V P^2 B m^3: > P^3, assistere vestro iuveni L | 8. καθαρευομεν P^3 B m^3: καθηριευομεν V, καθαριευομεν P^2 | τα: > nur V | δια V etc.: και × P^3 L | 9. εν τ. μετ. V: > P^3, die andern nicht zu vergleichen | 10. απο V: > P^2 (übrigens abweichend) P^3 | 11. ελυπηθη — παντων V: σφοδρα ελυπηθη επι τη απωλεια του παιδος και τω πενθει τουτων P^3, sehr verschieden P^2 m^3 | 13. αναστα — επιδος V m^3 (αναστας?): τεκ. Π. αναστα και επ. P^3 c m', τ. Π. αναστας επειδος P^2 | 14. εποιησα ουτως V: επεδωκα αυτω την χειρα P^3, ähnlich P^2 L B | 15. δακρυσας V P^2 B: κλαυσας P^3 | πικρως V P^3: > P^2 B | 16. θαλασσα zweimal VP^2 m^3: dreimal P^3, > L B | των σων νωτων V m^3: τ. σ. υδατων P^3, τον νωτον σου P^2 | 17. ον V m^3: ων P^2, ου P^3 | βασταζω hier V: hinter εγω P^2, hinter αυτου P^3 m^3 | 19. Ιωαννου V P^2: τουτω P^3, του αποστολου m^3 | 20. κινδυνευσαι V P^2 (× παρ' ολιγον) cf B: κινδυνευειν P^3 | υψωθη — δεξιων V: ιδου υψωθεν εν κυμα κατα την δεξιαν P^3, ιδου κυμα μεγα κεκυρτωμενον υψωθη εις τα δεξια μερη P^2 cf m^3, worüber Amphil. nicht ganz deutlich

κῦμα ἐκ δεξιῶν τοῦ πλοίου καὶ ἀπέρριψε τὸν παῖδα ζῶντα παρὰ τοὺς πόδας Ἰωάννου, καὶ προσεκύνησαν αὐτὸν λέγοντες· ἀληθῶς ὁ θεός σου οὗτος οὐρανοῦ καὶ γῆς καὶ θαλάσσης κύριός ἐστιν. καὶ προσελθόντες ἀπεκούφισαν τὰ σίδηρα ἀπ᾽ αὐτοῦ, καὶ ἤμεθα ἐν παρρησίᾳ πολλῇ μετ᾽ αὐτῶν.

Ἐλθόντων δὲ ἡμῶν ἐν κώμῃ τινὶ ὀνόματι Κατοικίᾳ, παρεβάλαμεν ἐκεῖ, καὶ ἐξῆλθον ἅπαντες εἰς τὴν γῆν. μόνοι δὲ ἡμεῖς καὶ οἱ φυλάσσοντες ἐν τῷ πλοίῳ ἐμείναμεν. περὶ δὲ δυσμὰς ἡλίου ἅπαντες παρεγένοντο ἐν τῷ πλοίῳ καὶ ἐπήραμεν ἐκεῖθεν. καὶ περὶ πέμπτην ὥραν τῆς νυκτὸς γίνεται ζάλη μεγάλη ἐν τῇ θαλάσσῃ, καὶ τὸ πλοῖον ἐκινδύνευεν εἰς τὸ συντριβῆναι, καὶ οἱ πάντες πρὸ ὀφθαλμῶν τὸν θάνατον ἐφέροντο. καὶ προσελθόντες οἱ δέκα προτίκτορες τῷ ἀποστόλῳ καὶ μαθητῇ τοῦ Χριστοῦ Ἰωάννῃ εἶπον πρὸς αὐτόν· ἄνθρωπε τοῦ θεοῦ, τὸν παρ᾽ ἐλπίδα ζωῆς ὄντα λόγῳ ἀνήγαγες ἐκ τοῦ βυθοῦ τῆς θαλάσσης, ζῶντα παραστήσας τῷ αὐτοῦ πατρὶ καὶ τοῖς ζητοῦσιν αὐτόν, καὶ πάλιν δεήθητι τοῦ θεοῦ σου, ὅπως κουφίσῃ ἀφ᾽ ἡμῶν τὸν κλύδωνα τὸν μέγαν τοῦτον, ὅπως μὴ ἀπολώμεθα. ὁ δὲ Ἰωάννης εἶπεν πρὸς αὐτούς· ἡσυχάσατε ἕκαστος ἐν τῷ τόπῳ αὐτοῦ. καὶ ἡσύ-

1. *και απερριψε* V: *απερριψεν* P^2 B, *ερριψεν* m^3, *ερρηξεν* P^3, alle > *και* | 2. *Ιω.* V: *του* × P^2 P^3 B | *προσ. αυτον λεγοντες* V P^2 (dieser × *παντες δε το παραδοξον τουτο θεασαμενοι μετα φοβου και τρομου πεσοντες επι προσωπον*, ähnlich m^3): *επεσον παντες επι προσωπον και προσεκυνησαν αυτω και ειπον* P^3 | 3. *κυριος εστιν* V: *θεος* vor *ουρανου* P^2 (nur dieser *εστιν* nach *γης*) P^3 (*πασης πνοης* statt *θαλασσης*), *θεος εστιν* vor *ουρ.* m^3 | 4. *απεκουφησαν* V: *ηραν* P^3, *ηραν απ αυτου* P^2 m^3. Hieran schliesst m^3 sofort *και δεξαμενοι τον λογον παρεκαλουν αυτον, οπως φωτισθωσιν*, übergeht also Alles bis p. 56, 17 | 5. *ημεθα* P^2 P^3: *ημεν* V | 6. *κατοικια* V: *κατοικιω* P^2, *κατοικιων* P^3, s. die Varianten von B | *παρεβαλαμεν* V: *παρεβαλομεν* P^3, > P^2 | 9. *επηραμεν* V (geschr. *επειραμεν* woraus Tischendorf *εμειναμεν* machen wollte): *διαλαβοντες οι ναυται απειραμεν* P^3, *απαραντες* P^2 (übrigens abweichend) | *και π. π. ωραν* V: *περι δε π. ωραν* (*φυλακην* P^3) P^2 P^3 | 10. *ζαλη μ.* V: *λαιλαψ και* × P^2, nur *λαιλαψ μεγας* P^3 | 11. *και το — συντριβηναι* V: *ωστε κινδονευειν το πλοιον* P^3, sehr anders P^2 | *οι* vor *παντες* V: > P^3 | 12. *εφεροντο* P^3: *επεφερομεθα* V, *βλεποντων* P^2 | *προσελθοντες — προς αυτον* V cf L: *προσκαλεσαμενοι ειπον οι προτ. τω Ιωαννη* P^3 | 14. *ειπον* P^3 s. vorher: in V *ον* übergeschrieben über *ειπαν* | *τον* V: *νεανιαν* + P^3 cf B, die ganze Stelle umgearbeitet in P^2 | 15. *εκ* V B: *απο* P^3 | *ζωντα παραστ.* V: *και τον τεθνεωτα ζωντα παρεστησας* P^3 | 16. *τω — και* V cf L: > P^3 | 18. *τον μεγαν* V B (vor *κλυδ.*): > P^3 L | 18. *απολωμ.*: *απολλωμ.* V | 19. *εκαστος — αυτου* V B cf L: *τεκνα εκαστος επι τον τοπον υμων* P^3

χασαν ἅπαντες, καὶ ὁ κλύδων μειζόνως ἐπῄρετο, καὶ πάλιν ἅπαντες ἔκραξαν· ἐλέησον ἡμᾶς, ἄνθρωπε τοῦ θεοῦ. ὁ δὲ Ἰωάννης πάλιν πρὸς αὐτούς· εἶπον ὑμῖν ἤδη, ἡσυχάσατε· ἀποβολὴ γὰρ τοῦ πλοίου οὐδεμία γενήσεται, ἀλλ᾿ οὐδὲ θρὶξ ἀπὸ τῆς κεφαλῆς ὑμῶν ἀπολεῖται. καὶ ταῦτα εἰπὼν ἀναστὰς προσηύξατο, καὶ εὐθέως ἐγένετο γαλήνη μεγάλη ἐν τῇ θαλάσσῃ.

Διαπλευσάντων δὲ ἡμῶν τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας παρεβάλαμεν ἐν τόπῳ τινὶ καλουμένῳ Ἐπικούρῳ. ἦν δὲ ἐκεῖ ὁ Ἰουδαῖος ὁ Μαρεών, ὁ τὰς δεινὰς στάσεις ποιήσας ἡμῖν ἐν Ἐφέσῳ, καὶ ἰδὼν ἡμᾶς ἐν τῷ πλοίῳ ἐπερώτησέν τινας τῶν ναυτῶν λέγων· τίνες οἱ ἄνδρες, οὓς ἔχετε ἐν τῷ πλοίῳ μεθ᾿ ἑαυτῶν. οἱ δὲ εἶπον· ὅτι τινὲς δύο εἰσὶν Χριστιανοὶ καὶ θεραπευταὶ πρὸς τὸν θεόν, καὶ μεγάλη σωτηρία ἡμῖν γέγονε δι᾿ αὐτῶν ἐν τῷ πλοίῳ. ὁ δὲ Μαρεὼν εἶπεν πρὸς αὐτούς· τί ὄνομα αὐτοῖς; οἱ δὲ εἶπον· ὄνομα τῷ διδασκάλῳ Ἰωάννης, καὶ ὄνομα τῷ μαθητῇ Πρόχορος. ἀκούσας δὲ ταῦτα ὁ Μαρεὼν ἀνῆλθεν ταχέως ἐν τῷ πλοίῳ καὶ ἰδὼν ἡμᾶς ἤρξατο λέγειν· τί

1. *ο κλυδων* V cf B: + *της θαλασσης* P^3 | *επηρετο* (geschr. *επαιρετο*) V: *εφερετο* P^3, mit B hier P^2 | 2. *απαντες* V: *ομοθυμαδον* P^2, *ομοθ. απαντες* P^3 | *εκραξαν* V: *προς τον Ιω.* P^3, *εβοησαν λεγοντες* P^2 | 3. *παλιν* V: *ειπεν* P^3 | *υμιν ηδη* P^2 (geschr. *ει δη*) P^3 (+ *οτι*): *ει μι* V | *ησυχ.* V P^3: *ισχυσατε* P^2 | 4. *γαρ* P^2 P^3 L: > V | *ουδε* V P^2: *ουτε* P^3 | *απο — απολειται* V L: *της κεφαλης απολειται τινος των εν τω πλοιω* P^3, *τινος απολειται* P^2 | *ειπων* V P^2: *και πλειονα τουτων* + P^3 | 6. *ευθεως* V L (der aber Gebetsworte voraufschickt): > P^2 P^3 | 7. *διαπλευσ. — νυκτας* V P^3 L: *και εσιου* (lies *αισιου*) *ανεμου οντος επλευσαμεν και δια τριων ημερων του κυριου κατευοδουντος ημας* P^2 | 8. *παρεβαλαμεν* V: *παρεβαλλομεν* P^2; mit den Worten *ηλθομεν εν Μυρωνη* geht P^3 zu p. 53, 16 fort ähnlich wie B. Aber V wird in allem wesentlichen durch P^2 L bestätigt | *τοπω* V: *πολει* P^2 | *καλουμ.* V: *ονοματι* P^2 | *Επικ.* V P^2: *Epidaurum* L | *ην δε — Μαρεων* V cf L (*Marnon* wie oben p. 43, 4): *και προσορμισθεντες τω λιμενι ανεπαυσαντο εκεισαι οι προτικτορες ημερας ικανας και παντες εδοξαζον τον θεον επι τοις γενομενοις υπο Ιωαννου σημειοις και διηγουμενοι πασιν α εποιησεν ο θεος μεγαλεια μετ᾿ αυτων εν τη θαλασση. ην δε Ιουδαιος εν αυτη τη πολει Επικουρω ονοματι Μαρεων* P^2 (s. oben zu p. 43, 4) | 10. *και — επερωτ.* V L: *ουτος ιδων το πλοιον ηρωτησεν* P^2 | 11. *λεγων* V: > P^2 | *ους — εαυτων* V: × *ουτοι* u. > *μεθ᾿ εαυτων* P^2 | 12. *οτι — εισιν* V: > P^2 cf L | 13. *πρ. τ. θεον* V: *του Χριστου* P^2 | 14. *ο δε — αυτους* V: *τουτω. εφη δε προς αυτους· και τι τα ονοματα αυτων* P^2, so giebt P^2 immerfort „Verbesserungen" | 17. *τι ποιειτε — διαρρηξας* V, wesentlich so L: *μαγοι και αχρησιμοι περι των θεων τι ποιειτε ενταυθα; ουχ ηρκεσεν*

ποιεῖτε ἐνταῦθα, μάγοι ἀχρήσιμοι περὶ τῶν θεῶν; εἷς δὲ τῶν βασιλικῶν ἦν μεθ' ἡμῶν ἐν τῷ πλοίῳ μετὰ τῶν φυλαττόντων ἡμᾶς στρατιωτῶν, καὶ εἶπεν πρὸς τὸν Μαρεῶνα· τί λαλεῖς τοιαῦτα πρὸς τοὺς ἄνδρας; σιωπήσας ἀναχώρησον, μὴ κακῶς καταδικασθῇς, ὅτι κελεύσει τοῦ βασιλέως διασώζομεν αὐτοὺς ἐν Πάτμῳ τῇ νήσῳ. ἀκούσας δὲ ταῦτα ὁ Μαρεὼν κατῆλθεν τοῦ πλοίου καὶ διαρρήξας τὰ ἱμάτια αὐτοῦ ἔκραξεν λέγων· ἄνδρες ἀδελφοὶ οἱ τὴν Ἐπίκουρον οἰκοῦντες, ἅπαντες βοηθήσατε. ἦν δὲ οὗτος ὁ Μαρεὼν πλούσιος σφόδρα, κρατῶν δημοσίων πραγμάτων πολλῶν. καὶ συνήχθησαν πάντες οἱ ἐντόπιοι πρὸς αὐτόν, ὁμοίως καὶ οἱ βασιλικοί, μὴ ἐπιστάμενοι, διὰ τί τὰς φωνὰς ταύτας ἀπεδίδου ὁ Μαρεών. παραγενόμενοι δὲ πρὸς αὐτὸν εἶπον· τί ἐστιν, ὃ σὺ λαλεῖς; καὶ εἶπεν πρὸς αὐτούς· περὶ πάντων ὧν ἐγὼ ἀποκρίνομαι τῇ ὥρᾳ ταύτῃ πρὸς ὑμᾶς, ἄνδρες οἱ τὴν Ἐπίκουρον οἰκοῦντες, μὴ δὴ καταφρονήσητε ἑνὸς τῶν λόγων μου. ἄνθρωποι γὰρ μάγοι καὶ βέβηλοι ὄντες, ἐν Ἐφέσῳ πολλὰς τιμωρίας ἐπήγαγον οὗτοι ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν Ἔφεσον, καὶ ἀναχωρήσαντες ἐκεῖθεν ἦλθον ἐνταῦθα, περιποιήσοντες πολλὰ κακά. ἀλλὰ συνάχθητε πάντες οἰκήτορες τῆς Ἐπικούρου, καὶ πῦρ βάλλωμεν ἐν τῷ πλοίῳ καὶ καυθήσεται μετὰ τῶν μιαρῶν τούτων. καὶ ἐπείσθησαν πάντες τοῖς λόγοις τοῖς κακοῖς τοῦ Μαρεῶνος. ἰδόντες δὲ οἱ ἄνδρες οἱ βασιλικοὶ τὴν ἄτακτον ταύτην προαίρεσιν, εἶπαν πρὸς αὐτούς· ἄνδρες Ἐπικούριοι, μηδὲν κακὸν ποιήσητε ἐν τῷ πλοίῳ, μηδὲ ἐπὶ τοὺς ἀνθρώπους τοὺς ὄντας ἐν αὐτῷ, ὅτι κέλευσίς

υμιν τα κακα α εποιησατε εν Εφεσω, αλλα μην και ενταυθα ηκατε παντας καταγοητευσαι ταις φαρμακιαις υμων, και διαρριξας P^2 | 4. *ανδρας* V: *viros sanctos* L | 5. *διασωζ.* V: *ducimus* L | 7. *εκραξεν* V: *εβοα* P^2 | 8. *αδελφοι* V L: > P^2 | *οικ. απ.* V L: *την πολιν κατοικουντες* P^2 | *βοηθησ.* V: *βοηθειτε* P^2 | 9. *ην δε — πολλων* l. 10 V L: > P^2 | 10. *κ. συνηχθησαν — ειπον* l. 13 V: *και συνηχθη πληθος ανδρων εν τω τοπω και ελεγον* P^2 cf L | 13. *συ — οντες* l. 16 V: *εχεις, αναγγειλον ημιν. ο δε ειπεν αυτοις· ανδρες οι την Επικουρον πολιν κατοικουντες, ακουσατε. ουτοι οι ανδρες μαγοι εισιν και αχρησιμοι περι των θεων και βεβηλοι οιτινες* P^2 cf L | 14. *υμας*: *ημας* V | 15. *καταφρονησετε* V | 16. *εν Εφ.* V: > P^2 L | 17. *επι — Εφεσον* V L: *τοις Εφεσιοις καταστρεψαντες τους ναους αυτων και τας θυσιας επαυσαν και πασαν την πολιν εις ερημωσιν ηνεγκαν* P^2 der auch weiterhin kaum zu vergleichen | 19. *περιποιησοντες* schreibe ich; *περιποιησαντες* V, *ut similia infligant mala* L, *χειρωνα ποιησαι* P^2 | 20. *της*: *του* V aber nur hier mascul. | 24. *ποιησ.* (geschr. *ποιησεται*) V: *διαπραξητε* P^2 | 25. *μηδε — αυτω* V: > P^2 L

ἐστιν βασιλέως ἡ παραπέμπουσα τούτους ἐν Πάτμῳ τῇ νήσῳ. καὶ ἐπέδειξαν αὐτοῖς καὶ τὸ βιβλίον τὸ ἐκφωνηθὲν καθ᾽ ἡμῶν, καὶ ἀναγνόντες αὐτὸ μόλις ἐπείσθησαν τοῦ μὴ ἀνελεῖν ἡμᾶς. εἶπεν δὲ ὁ Μαρεὼν πρὸς τοὺς βασιλικοὺς ἄνδρας· καὶ εἰ κέλευσίς ἐστιν βασιλική, διὰ τί οὐ δεσμεῖτε αὐτοὺς σιδήροις, μήποτε τῇ πονηρίᾳ αὐτῶν ἐκφυγόντες εἰς τὴν αὐτῶν καταδίκην ποιήσωσιν ὑμᾶς ἐμπεσεῖν· πολλῆς γὰρ μαγίας μετέχουσιν οἱ παμμίαροι οὗτοι. διὰ γὰρ τῆς κακίστης αὐτῶν ὑποκρίσεως καὶ φαντασίας τῆς γενομένης δι᾽ αὐτῶν πολλὰς ψυχὰς ἀπώλεσαν, μάλιστα Ἰωάννης ὁ ἀπατεὼν καὶ πάσης καταδίκης ἄξιος. ταῦτα ἀκούσαντες οἱ βασιλικοί, παρακληθέντες ὑπὸ Μαρεῶνος συνφαγεῖν αὐτῷ, ἠπάτησεν αὐτοὺς διὰ λόγων δολερῶν, καὶ ἀσπασάμενοι αὐτὸν ἀνῆλθον πρὸς ἡμᾶς εἰς τὸ πλοῖον θηριωθέντες καὶ περιέθηκαν πάλιν τῷ Ἰωάννῃ τὰ σίδηρα καὶ τῇ αὐτῇ διαίτῃ διῄτουν ἡμᾶς.

Καὶ ἐπάραντες ἐκεῖθεν ἤλθαμεν διὰ δύο ἡμερῶν ἐν Μυ-

1. *βασιλεως* V: *του βασ.* vor *εστιν* P^2, *principis Domitiani* L | *τουτους* V: > P^2, derselbe + *εν εξορια*, noch mehr + L | 2. *και επεδειξαν κτλ.* V: *audientes autem viri Epidauritae doluerunt, ab incoepto desistentes* × L; P^2 stellt die Worte *και ει κελευσις κτλ.* l. 4 sqq. in abgekürzter Form vor *και επεδειξαν* u. macht aus Worten Mareons solche der Epikurier, letzteres auch L, welcher jedoch die Ordnung von V bestätigt | *επεδειξαν* (schreibt dann *αυτους*) V: *υπεδειξαν* P^2 | 3. *και αναγνοντες αυτο* schreibe ich nach V (*και αναγνωναι αυτω*): > P^2, noch mehr > L | 5. *βασιλικη* V: *βασιλεως* P^2, *principis* L | 6. *τη πονηρια — αξιος* l. 10 V cf L: *τη γοητεια αυτων αποδρασωσιν και εις κινδυνον βαλλωσιν υμας. πολλας γαρ ψυχας απωλεσαν οι παμμιαροι ουτοι δια τας υπ αυτων γινομενας φαντασιας* P^2 | 11. *ταυτα ακουσ. κτλ.* V: *audientes autem haec qui legati fuerant, mirabantur super verbis illis, nam verbis dolosis eos deceperat Marnon* L (s. letzteres oben l. 12); *πολλας δε πληγας τοτε επεθηκαν ημας. ο δε Μαρεων εδεξιωσατο τους προτικτωρας και φιλοφρονως υπεδεξατο εν τω οικω αυτου. ην γαρ πλουσιος κτλ.* P^2 | *παρακληθεντες* u. l. 12 *αυτω* schreibe ich: *παραβληθεντες* u. *αυτοις* V, *et rogavit eos Marnon ut comederent cum eo* L, über P^2 s. vorher | 13. *θηριωθεντες* (geschr. *θερ.*) V: *ως αγριοι θηρες μη μνησθεντες των ευεργεσιων ων εποιησεν δι αυτου ο θεος εις αυτους* P^2 cf L | 14. *και περιεθηκαν* (geschr. *—ησαν*) *π. τ. Ιω.* V: *παλιν περιεθ.˙ αυτω* P^2 | *τη — ημας* V: *την αυτην διαιταν διαιτησαν ημας* P^2, der hieran eine längere Einschaltung über die Bestrafung Mareons anschliesst | 16. *και επαρ. — Μυρ.* (hier geschrieben *—νη*, später *—νι*) V: *ηλθομεν εν Μυρωνη* P^3 angeschlossen an p. 51, 7 s. die dortige Note; *deinde illinc navigantes pervenimus Myrrh.* . (der Name ist unvollständig) L, *απαραντες δε οι ναυται εσιου* (s. o. zu p. 51, 7) *οντος του πλοος τη του θεου χαριτι δια δυο*

ρεῶνι καὶ παρεβάλομεν ἐκεῖ. καὶ νόσος μεγάλη ἐπῆλθεν ἑνὶ τῶν προτικτόρων· κοιλιακὴ γὰρ βία ἐπελθοῦσα αὐτῷ, ἐκινδύνευεν. καὶ ἐμείναμεν ἐν Μυρεῶνι ἡμέρας ἑπτὰ διὰ τὴν αἰτίαν ταύτην. τῇ δὲ ὀγδόῃ ἡμέρᾳ εἰς λόγους σκληροὺς ἦλθον οἱ διάγοντες ἡμᾶς, πρὸς ἑαυτοὺς λέγοντες· ὅτι οὐκ ἔστιν καλὸν μένειν ἐν τῷ τόπῳ τούτῳ, ὅτι κέλευσις βασιλέως ἐστίν, καὶ πᾶσα κέλευσις βασιλέως ἐν σπουδῇ γίνεται, καὶ ὁ ἀμελῶν αὐτῆς ἀμελεῖ τῆς ἑαυτοῦ ψυχῆς. τινὲς δὲ ἐξ αὐτῶν ἔλεγον· οὐκ ἔστιν δίκαιον τὸν ἑταῖρον ἡμῶν μεῖναι ἐν τῷ τόπῳ τούτῳ καὶ ἡμᾶς ἀποπλεῦσαι, ἢ πάλιν ἐμβαλεῖν αὐτὸν ἐν τῷ πλοίῳ, ὄντα ἐν ἀνάγκῃ τοιαύτῃ. καὶ πολλὴ φιλονεικία ἦν ἀνὰ μέσον αὐτῶν. ὁ οὖν Ἰωάννης ἰδὼν τὴν ἀνωφελῆ αὐτῶν φιλονεικίαν εἶπεν πρός με· τέκνον Πρόχορε, ἄπελθε καὶ εἰπὲ τῷ ἀσθενοῦντι· ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ ἐλθὲ πρός με. καὶ ἀπῆλθον καὶ εἶπον τῷ νοσοῦντι κατὰ τὸν λόγον Ἰωάννου, καὶ εὐθέως ἀναστὰς ἐπορεύθη μετ' ἐμοῦ πρὸς τὸν ἀπόστολον τοῦ Χριστοῦ, μηδὲν κακὸν ἔχων· καὶ εἶπεν πρὸς αὐτὸν Ἰωάννης· λάλησον δὴ εἰς τὰ ὦτα τῶν σῶν ἑταίρων, καὶ ἀποπλεύσωμεν ἐντεῦθεν. καὶ εὐθέως ὁ τὰς ἑπτὰ ἡμέρας μὴ γευσάμενος προετρέπετο τοὺς ἑταίρους αὐτοῦ τοῦ ἀποπλεῦσαι ἡμᾶς διὰ τάχους.

Καὶ ἐπάραντες ἀπὸ Μυρεῶνος ἤλθαμεν ἐπὶ τὸν τόπον τὸν

ημερων ηλθομεν εν τη πολει Μυρωνι P², *προσορμισθεντων δε ημων εν Μυρωνι* B, der hier wieder einmündet s. oben p. 51, 8 | 1. *κ. παρ. εκει και* V P³: *και προσωρμισθεντες τω λιμενι* P² cf B, nicht zu vergleichen L | *νοσος — προτικτ.* V P³ cf B: *νοσος χαλεπη επηλθεν τον πρωτον των προτ.* P² | 2. *κοιλιακη — εκινδ.* V P² (+ *εσχατως*): *και εκινδινευε δυσεντερια συνεχομενος* P³, der sich hier wieder für eine kurze Strecke an B anschliesst | 3. *και εμειναμεν κτλ.* V, sehr ähnlich L: *ποιησαντων ουν ημων εκεισαι ημερας επτα και παντων φιλονικουντων κτλ.* P² mit einigen Anklängen an B | 9. *εταιρον*: *ετερον* V | 11. *μεσον*: *μεσων* P², *μεσω* V | 18. *και αποπλευσ.* (geschrieben — *σομεν*) V: *ut solvamus hinc et de loco isto navigemus* L | 19. *μη γευσαμ. προετρ.* V cf L: *εχων μη γευσαμ. μηδε υπνωσας, αλλ' ην απελπισμενος προετρεπεν* P² | 20. *του — ταχους* V L (+ *eo quod a dolore mortis evaserat liber et incolumis*): *αποπλεειν ημας* P², dann aber lässt er hier, vor der Abfahrt nach Lophos, Aehnliches folgen, wie nachher bei ihm selbst und den übrigen unten p. 56, 9 sqq. auch die Taufe der Soldaten verlegt er hierhin | 21. *και επαραντες* V: *απαραντες δε* P², so auch P³ u. m², welcher allein von allen Hss. der Recension B diesen Abschnitt enthält (s. unten Beil. B II u. die Einleitung) | *Μυρεωνος* V: *Μυρεωνι* P² (s. anders zu p. 53, 16), *Μυρωνος* P³ m², *illinc* L | *ηλθαμεν* V: *ηλθομεν* P² P³ m² | *επι — Λοφον* V P³ m²: *εν τοπω καλουμενω Λοφω* P², *in quendam locum qui Liphon vocabatur* L

καλούμενον Λόφον, καὶ παρεβάλομεν ἐκεῖ. ἦν δὲ ἄνυδρος ὁ τόπος καὶ ῥευματώδης πολὺ καὶ διθάλασσος, καὶ ἐποιήσαμεν ἐκεῖ ἡμέρας ἓξ διὰ τὴν ζάλην τῆς θαλάσσης. καὶ οὐκ ἦν ὕδωρ τοῦ πιεῖν ἡμᾶς καὶ ἀναψῦξαι, καὶ ἐκινδύνευον πάντες ἀπὸ τῆς δίψης. μελλόντων δέ τινων τῶν ἐν τῷ πλοίῳ θνήσκειν, εἶπεν πρός με Ἰωάννης· τέκνον Πρόχορε, ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ τοῦ θεοῦ, βάλε τὸ ἀγγεῖον ἐν τῇ θαλάσσῃ καὶ πλῆσον αὐτό. καὶ ἐποίησα οὕτως, καὶ εἶπέν μοι· βάλλε εἰς πάντα τὰ ἀγγεῖα ἐξ αὐτοῦ, καὶ πάλιν πλῆσον αὐτὸ ἐκ τῆς θαλάσσης. καὶ ἔπλησα πάντα τὰ ἀγγεῖα, καὶ τὸ ὕδωρ τὸ ἐν αὐτοῖς ἐγένετο γλυκὺ σφόδρα. καὶ προσκαλεσάμενος ἅπαντας τοὺς ἐν τῷ πλοίῳ εἶπεν πρὸς αὐτούς· ἐν ὀνόματι τοῦ ἐσταυρωμένου λάβετε καὶ πίετε, καὶ ζήσεσθε. καὶ ἔλαβον πάντες καὶ ἔπιον καὶ ἔστη τὸ πνεῦμα αὐτῶν ἐν αὐτοῖς. οἱ οὖν βασιλικοί, ἰδόντες ὃ ἐποίησεν θαῦμα Ἰωάννης, εἶπον πρὸς ἑαυτούς· τί ποιήσωμεν ἐπὶ τῷ ἀνθρώπῳ τούτῳ, ὅτι πολλὰ καὶ μεγάλα θαυμάσια οἴδαμεν ὑπ' αὐτοῦ γινόμενα· ἀλλὰ δεῦτε, ἀποκουφίσωμεν ἀπ' αὐτοῦ τὰ σίδηρα καὶ ποιήσωμεν αὐτὸν ἐν ἀνέσει, μήποτε πῦρ ἐκ τοῦ

1. *και παρ. εκει* V: *κ. εμειναμεν ε.* P^3 m^2, mehreres + L, > P^2 | 2. *πολυ* V: *πολυς* P^3 m^2, > P^2 | *διθαλασσος* V (cf Act. 27, 41): *δισθαλ.* m^2, *δυσθαλ.* P^2, *δυσθαλασσιος* P^3 | *και εποιησαμεν — θαλασσης* V P^3 m^2 (*εξ ημερας*): *δια δε την ζαλην και την αναγκην της θαλ. εποιησ. εκει ημερας η* P^2 | 4. *του* V: *ωστε* P^2 P^3 m^2 | *και αναψυξαι* P^2 P^3 m^2: > V | *παντες* V P^2: *απαντες* P^3 m^2 | *απο τ. διψης* V: *τη διψη* P^2 P^3 m^2 | 5. *των εν τ. πλ.* V P^3 m^2: > P^2 | *θνησκειν* V: *και αποθνησκειν* P^2, *θνησκειν δια την ανυδριαν* P^3 m^2 | 6. *Ιω.* hier V: vor *προς* P^3 m^2; *εβοησαν παντες προς Ιωαννην, λεγοντες· ελεησον ημας δουλε του θεου του υψιστου, μη απολλωμεθα εν τη ερημω ταυτη υπο της διψης. συμπαθησας δε αυτους ο Ιωαννης ειπεν προς με* P^2 | *Ιησ. — θεου* V P^2 cf L (*domini nostri J. Chr*): × *του εσταυρωμενου* P^3 m^2 | 8. *και επ. ουτ.* V: *και επλησα το αγγειον εκ της θαλασσης* P^3 m^2, von hier an ganz abweichend P^2 | *μοι· βαλλε* V: *Ιωαννης· βαλε* P^3 m^2 | *παντα* V: *απαντα* P^3 m^2 | 9. *εξ αυτου — αγγεια* V: *και πλησον αυτα, και εποιησα ουτως* m^2, > P^3 | 10. *και το υδωρ — σφοδρα* V cf L: *και εγενετο παντα τα αγγεια πεπληρωμενα* × m^2 u. > das spätere *εγενετο*, so auch P^3, aber verstümmelt ohne *και εγ. π. τ. αγγεια* | 11. *και προσκ.* V: *προσκ. δε Ιωαννης* P^3 m^2 | 12. *ειπεν* (oder *—πε*) P^3 m^2: *ειπαν* V | 13. *παντες* V L: *απο του υδατος* + P^3 m^2 | 15. *θαυμα* V: > P^3 m^2 (dieser *ο* vor *Ιω.*) | *εαυτους* V m^2: *αυτους* P^3 | 16. *τω αν. τουτω* V: *τον ανθρωπον τουτον* P^3 m^2 | *οτι — οιδαμεν* V: *πολλα γαρ θαυμασια ειδομεν* P^3 m^2 (*ιδομεν*) | 17 — p 56, 9 *αποκουφισωμεν — ειπον* V L: *προσπεσωμεν αυτω, και ει τι κελευει πασιν ημιν ποιησωμεν, και πεσοντες επι προσωπον παντες οι διασωζοντες ημας ειπον προς αυτον* P^3 m^2

οὐρανοῦ κατελθὸν κατακαύσῃ πάντας ἡμᾶς. καὶ προσελθόντες τῷ ἀποστόλῳ εἶπον πρὸς αὐτόν· ἄνθρωπε τοῦ θεοῦ, μὴ ὀργισθῇς ἐπὶ τοῖς δούλοις σου, ὅτι κέλευσίς ἐστιν βασιλική, καὶ οὐ δυνάμεθα μὴ ποιῆσαι αὐτήν. νῦν οὖν κουφίζομεν ἡμεῖς τὰ σίδηρα ἀπὸ σοῦ, καὶ εἴ τι κελεύεις ἡμῖν ποιήσομεν. καὶ ἐπῆραν ἀπ᾿ αὐτοῦ τὰ σίδηρα. ὁ δὲ Ἰωάννης εἶπεν πρὸς αὐτούς· ἐγὼ οὐ κόπον ἡγοῦμαι τὸ βάρος τῶν σιδήρων, ἀλλὰ χαρὰν μεγάλην ἔχει μου ἡ ψυχὴ διὰ τὴν κέλευσιν τοῦ δι᾿ ἡμᾶς σταυρωθέντος. καὶ πεσόντες ἐπὶ πρόσωπον αὐτῶν πάντες εἶπον· κύριε, ἰδοὺ πᾶσα ἡ γῆ ἐνώπιόν σου ἐστίν· ὅπου θέλεις βάδιζε, καὶ ἡμεῖς ἀπελευσόμεθα εἰς τοὺς τόπους ἡμῶν. ὁ δὲ Ἰωάννης εἶπεν πρὸς αὐτούς· καὶ ποίαν παρρησίαν ἔχετε πρὸς τὸν βασιλέα ὑμῶν ἐπὶ τῇ ἡμῶν ἀπολύσει; εἰς τὸν τόπον οὖν τὸν κελευσθέντα ὑμῖν ἀποκαταστήσατε ἡμᾶς καὶ ὑποστρέψατε μετ᾿ εἰρήνης εἰς τοὺς οἴκους ὑμῶν. καὶ ὑπολαβὼν Ἰωάννης ἀπὸ τῶν θείων γραφῶν ἤρξατο αὐτοῖς ἑρμηνεύειν καὶ διδάσκειν αὐτοὺς τὰ περὶ τοῦ υἱοῦ τοῦ θεοῦ. δεξάμενοι δὲ τὸν λόγον παρ᾿ αὐτοῦ παρεκάλεσαν αὐτὸν, ὅπως φωτισθῶσιν ὑπ᾿ αὐτοῦ, καὶ ἐβάπτισεν τοὺς δέκα προτίκτορας ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.

Καὶ ἐπάραντες ἀπὸ τοῦ Λόφου ἤλθομεν ἐν Πάτμῳ τῇ νήσῳ

1. *κατακαυσαι* V | 8. *δια* V: vielleicht *διατελειν* L (*adimplere voluntatem et praecepta)* | 9 *κυριε*: hiermit treten P^3 m^2 wieder ein, mit *ιδου* auch c m^1 v | 10. *εστιν* V P^3: > B (ob auch m^2?) | *θελεις* V: *βουλει* P^3 m^2, *αν κελευης* c v, *αν κελευσης* m^1 | 11. *απελευσ.* V: *πορευσομεθα* P^3 m^2 (der auch hier noch nicht wieder mit B geht) | *ο δε Ιω. ειπεν* V P^2 (der hier wieder etwas enger sich anschliesst): *ειπεν δε Ιω.* P^3 m^2 | 12. *αυτους*: das erste Wort in N nach der grossen Lücke (ed. Neander p. 536, oben p. 13, 4) | *ποιαν* N P^2 (*ποια*) P^3 cf L: > V; m^2 geht hier mit *ουχ ουτως τεκνα* wieder ganz zu B über | *εχετε* V L: *εξετε* N P^2 (*—ται*) P^3 (*εξητε*) | *υμων* V N L: > P^2 P^3 | 13. *επι τ. ημ.* (geschrieben *υμων*) *απολ.* V cf L: *τον αποστειλαντα υμας επι τη* (+ *εμη* P^3) *εξορια* (*υμων* + N) *αλλ᾿* N P^3, > P^2 | *ουν* V P^2 (aber vorher manche Zusätze, so auch L): > N P^3 | 14. *ημας* V L: *με* N P^2 P^3 | *υποστρεψατε* V P^2 (*—ψητε*): *τοτε* × N, *ουτως επιστρεψατε* P^3 | 15. *οικους* V N P^2: *τοπους* P^3, *regiones* L | *και υπολ.* V N: *υπολ. δε* P^2, sehr abkürzend bis p. 57, 8 P^2 | *Ιω.* V N: *ο* × P^3 | 16. *ηρξατο — διδασκειν* V N (> *αυτοις*): *εδιδασκεν* P^3 L | 17. *δεξαμ. δε* V N P^3: *και δεξαμ.* m^3, der hier wieder eintritt (s. oben p. 50, 4), aber sofort wieder von willkürlichsten Aenderungen wimmelt | *παρ᾿ αυτου* V P^3: > N L m^3 | 19. *τους δ. προτ.* V P^3 cf L mit seiner doppelten Umschreibung: *αυτους* N, > m^3 | *ημερα* V P^3 L: *ειρηνη* N | 20. *και επαρ.* V (B *απαρ.*): *απαρ. δε* N P^3, nur *απαρ.* P^2 | *απο τ. Λ.* V P^2 P^3 L (*Lipho derelicta*): *εκειθεν τουτεστιν* × N cf B

καὶ παρεβάλαμεν ἐν πόλει καλουμένῃ Φορᾷ. καὶ παραδόντες ἡμᾶς οἱ βασιλικοὶ κατὰ τὴν κέλευσιν τοῦ βασιλέως τοῖς ὀφείλουσιν ἡμᾶς παραλαβεῖν παρεκάλουν τὸν Ἰωάννην, ὥστε συνεῖναι ἡμῖν. ὁ δὲ Ἰωάννης εἶπεν πρὸς αὐτούς· τέκνα, τῆς χάριτος ἧς ἐλάβετε μὴ ἀμελήσητε, καὶ τόπος οὐ μὴ βλάψῃ ὑμᾶς· ἀλλ᾽ ἀπέλθατε ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ. ποιήσαντες δὲ μεθ᾽ ἡμῶν ἡμέρας δέκα ἀγαλλιώμενοι καὶ διδασκόμενοι ὑπὸ Ἰωάννου, εὐλογηθέντες ὑπ᾽ αὐτοῦ ἀπέπλευσαν ἐν εἰρήνῃ.

Ἦν δέ τις ἄνθρωπος ἐν Φορᾷ τῇ πόλει καὶ ὄνομα αὐτῷ Μύρων, καὶ τὸ ὄνομα τῆς γυναικὸς αὐτοῦ Φωνή· ἦσαν δὲ αὐτοῖς τρεῖς υἱοὶ ῥήτορες. ὁ δὲ Μύρων πλούσιος σφόδρα ὑπῆρχεν, καὶ πολλὴ ὑπηρεσία ἦν αὐτῷ. πνεῦμα δὲ πονηρὸν Πύθωνος ὑπῆρχεν ἐν τῷ υἱῷ αὐτοῦ τῷ μείζονι. ὁ οὖν Μύρων ὡς εἶδεν ἡμᾶς ἔλαβεν ἡμᾶς ἐν τῷ οἴκῳ αὐτοῦ. ἔγνω οὖν ὁ υἱὸς αὐτοῦ ὁ τὸν Πύθωνα ἔχων καὶ ἀπέδρα ἀπὸ τῆς πόλεως ἐκείνης εἰς ἑτέραν πόλιν, ὅπως μὴ διωχθῇ τὸ πνεῦμα αὐτοῦ ἀπ᾽ αὐτοῦ ὑπὸ τοῦ

1. *και παρεβ.* V P^3 (*παρεβαλομεν*, so auch B): > N P^2 | *εν πολει* (+ *τη* N) *καλ.* P^2 P^3 N B: *τοπω καλουμενω* V | *Φορα* V (jedoch glaubte Tischendorf nach einer Randbemerkung an späteren Stellen das erste Zeichen in *Φρ* auflösen zu sollen) P^2 (aber nur hier fol. 60 r., dagegen fol. 60 v. *Φρουρα*, fol. 75 v. *Φθορα*) L (> hier den Namen, aber c. 36 *in foro civitatis* = *εν φορα τη πολει*): *Φθορα* N, *Φλορα* ist in B überwiegend bezeugt, so auch P^3, doch hat v consequent *Φρουρα*, vt *Φρωρα*, m^2 wenigstens hier *Φορα* | 3. *ωστε* V P^3 (+ *αυτους*): > N, die andern unvergleichbar | 4. *προς αυτους* V: *αυτοις* N B, > P^3 | 5. *αμελ.* (geschr. *—σετε* V): *εκπεσητε* N P^3 | *υμας* V N B: *υμιν* P^3 | *αλλ᾽* (*αλλα* P^3) *απελθατε* V P^3: *απελθητε δη* N | 6. *ποιησ. δε* V P^3 (× *και εις το επιτηδευμα αυτου*): *και ποιησ.* N | 7. *αγαλλιωμ.* V P^3: *αγαλλομενοι* N | 8. *ευλογηθ. υπ᾽ αυτου* V: *και παρ᾽ αυτου ευλογηθ.* P^3, *και ευεργηθεντες* N | *απεπλευσαν* V N: *απεπλευσαντες* (sic) P^3, *απελυσεν αυτους* B | *εν ειρηνη* V B: *εις τα ιδια* N, *εις τους ιδους τοπους* P^3, *εν ειρηνη εις τους ιδιους οικους αυτων δοξαζοντες τον θεον επι πασιν οις ιδον και ηκουσαν, οτι αυτω πρεπει δοξα τιμη και προσκυνησις. αμην.* P^2 cf B | 9. *ην* V N P^2: *περι Μυρωνος και των γενομενων δι αυτου εις παντα τον οικον αυτου* × P^3 cf B (Beil. B II) | *εν Φορα* (über die Form des Namens s. zu l. 1): *εκει* × N | *και ονομα αυτω* N: *και το ον. αυτου* P^3, *ονοματι* V P^2 | 10. *Φωνη* V N P^3 B: *Φωτινη* P^2, *Flora* L | *αυτοις* V P^2 m^1: *αυτω* m^2 c v vt, *αυτων* N, *quibus* L | 11. *τρ. υιοι* V v: *υιοι τρ.* N P^2 m^1 m^2 c vt | *ο δε — υπηρχεν* V: *και ην ο ανηρ πλουσιος* N | *και πολλη — αυτω* N cf B: > V | 12. *πν. δε πον.* V: *και πνευμα* N | 13. *εν* V: > N | 14. *εν τω οι.* V: *εις τον οικον* N | *εγνω ουν* V: *εγνωκως ουν* B, *γνους δε* N | 15. *και απεδρα* V: *απεδρασεν* N | 16. *αυτου απ᾽ αυτου* V: > N B | *του* V: > N B

Ἰωάννου. μαθὼν οὖν ὁ Μύρων, ὅτι ἀπέδρασεν ὁ υἱὸς αὐτοῦ, εἶπε πρὸς τὴν ἑαυτοῦ γυναῖκα· εἰ ἦσαν οἱ ἄνθρωποι οὗτοι ἀγαθοί, εἰσελθόντων αὐτῶν ἐν τῷ οἴκῳ ἡμῶν οὐκ ἂν συνέβη ἡμῖν ταῦτα· ἀλλὰ καθώς τινες ἐξηγοῦνται μάγοι εἰσὶν καὶ μαγεύσαντες τὸν οἶκον ἡμῶν ἐδίωξαν τὸν υἱὸν ἡμῶν. οἴμοι, τέκνον ἐμὸν ποθητόν, πῶς ἐλήρησα ἐπὶ τῇ ἀπωλείᾳ τῇ σῇ καὶ εἰσήγαγον τοὺς μάγους τούτους ἐν τῷ οἴκῳ μου κατὰ σοῦ; εἶπεν δὲ πρὸς αὐτὸν ἡ γυνὴ αὐτοῦ· καὶ εἰ ταῦτα οὕτως ἔχει ὡς λέγεις, τί οὐ διώκεις αὐτοὺς ἀπὸ τοῦ οἴκου ἡμῶν, μήποτε καὶ εἰς τοὺς ἄλλους υἱοὺς ἡμῶν ἐνεργήσωσιν καὶ ἐξ ἀμφοτέρων ἀστοχήσαντες ἡμεῖς τελευτήσωμεν πικρῶς. καὶ εἶπεν πρὸς αὐτὴν Μύρων· οὐ διώκω αὐτοὺς μετὰ τὸ ποιῆσαι τούτους τὸ κακόν, ἀλλ' ἐμβάλλω αὐτοὺς εἰς θλῖψιν, ὅπως ποιήσωσιν ἀνακαλέσασθαι τὸν υἱὸν ἡμῶν καὶ παραστῆσαι αὐτὸν ἐν τῷ οἴκῳ ἡμῶν ζῶντα, καὶ τότε τιμωρήσομαι αὐτοὺς πικρῶς. ἦν δὲ Μύρων πενθερὸς τοῦ ἡγεμόνος τοῦ ἐν Πάτμῳ τῇ νήσῳ. ἔγνω οὖν Ἰωάννης τῷ πνεύματι πάντα τὰ ῥήματα, ἃ ἐλάλησεν Μύρων πρὸς τὴν γυναῖκα ἑαυτοῦ, καὶ εἶπεν πρός με· τέκνον

2. *εαυτου γ.* V: *γ. εαυτου* N B | *ανθρ.* V N m²: *ανδρες* P² B (ausser m²) | 3. *αγαθοι* hier V P² B: hinter *ησαν* N | *εισελθ. — οικω* V P² B: *οι εισελθοντες εις τον οικον* N | 4. *αλλα* V P² B: *αλλ ως εοικεν* N | *εξηγ.* V N B: *λεγουσιν* P² | *και μαγευσ. — κατα σου* (l. 8) V N, theilweise auch B: > P² | 5. *τον* vor *υιον* V B: > N | 6. *εμον ποθητον* V: *εμον* P³, *carissime fili* L, > N | *πως εληρησα* V cf L *(quomodo factus sum insipiens)*: *πως ελυπησα* N, *τι εχω λογισασθαι* P³ | *απωλ. τ. σ. και εισηγ.* V: *ση απωλ. εισαγαγων* N, *ση απωλ. οτι εισηγαγον* P³ | 8. *ειπεν δε* V m¹ m²: *και ειπεν* N vt c, *η δε γυνη αυτου θρηνουσα ελεγεν* P² | *προς αυτον* hier V: nach *αυτου* N B, > P² | 9. *ως λεγεις* V: > N P² B | 10. *και* vor *εις* V P² B: > N | *υιους ημ.* V P² (*ημ. υι.*) L: > N B | *και εξ* (*εξ* > N) — *πικρως* V N P³ m²: > P² m¹ v vt c | 12. *προς αυτην* V: *προς την γυναικα αυτου* N, (*ο δε ειπεν*) *αυτη* P² s. d. Varianten von B | 13. *τουτους* V: > N P² B | *εμβαλλω* V P² m¹ m² c: *εμβαλω* N P³ v vt | *θλιψιν* N B P² (+ *αφορητον ινα πρωτον παραστησωσιν κτλ.*): *θλιψεις* V | 14. *ποιησ.* V N L: *υποταξωσιν* P³, *αναγκασθωσι* B, > P² | *ανακαλ.* V: *ανακληθηναι* N P³ | *υιον ημων — ημων* V cf P² (*παραστησωσιν τον υιον ημων ζωντα*) L *(filium nostrum redire et nobis eum in hanc domum restituant)*: *υιον μου* N (ohne Zusatz), + *και παραστ. αυτον ζωντα εν τω οικω ημ.* P³, s. d. Varianten von B | 16. *Μυρων* V N v vt: *ὁ* × P² m¹ m² c | *του — νησω* V: *της νησσου* P², *της Πατμου* B, *insulam Pathmon procurantis* L, > N | 17. *εγνω ουν* V N B (+ *ο*): *γνους δε ο* P² | *τω πν.* P² B L *(per spiritum sanctum)*: > V N | *α ελαλ. Μυρων* V: *τα παρα Μυρωνος λαληθεντα* P² cf B L, *ταυτα* N | 18. *πρ. την γυν. εαυτ.* V B (*αυτου*) L: > P² N

Πρόχορε, γίνωσκε ὅτι ὁ Μύρων πολλὰ κακὰ διανοεῖται καθ' ἡμῶν· ὁ γὰρ υἱὸς αὐτοῦ ὁ μείζων πνεῦμα Πύθωνος ἔχει ἐν ἑαυτῷ, καὶ ὡς ἤλθαμεν ἐν τῷ οἴκῳ αὐτοῦ, φοβηθὲν τὸ ἀκάθαρτον πνεῦμα ἐδίωξεν αὐτὸν εἰς ἑτέραν πόλιν. τούτου χάριν ἔχει τὸν νοῦν αὐτοῦ τοῦ θλῖψαι ἡμᾶς, ἀλλὰ μηδὲν ἀθυμήσωμεν ἐπὶ πᾶσιν τοῖς ἐπερχομένοις ἡμῖν· ὁ γὰρ θεὸς παρίσταται βοηθῶν καὶ ἀντιλαμβανόμενος ἡμῖν. ὅταν γὰρ τὰς θλίψεις ἐπενέγκῃ ἡμῖν, τότε πιστεύσει αὐτὸς καὶ πᾶς ὁ οἶκος αὐτοῦ εἰς τὸν κηρυττόμενον ὑφ' ἡμῶν.

Εἶτα τῶν λόγων τούτων λαλουμένων πρός με παρὰ Ἰωάννου, ἐπιστολὴ ἔρχεται παρὰ τοῦ υἱοῦ Μύρωνος τοῦ τὸν Πύθωνα ἔχοντος περιέχουσα τὸν τύπον τοῦτον·

Ἀπολλωνίδης ῥήτωρ τῷ ἐμῷ πατρὶ Μύρωνι χαίρειν. Ἰωάννης ὁ μάγος, ὃν εἰσήγαγες εἰς τὸν οἶκον ἡμῶν, κακῇ περιεργείᾳ χρησάμενος ἐνήργησεν εἰς ἐμέ, καὶ τὸ ἀποσταλὲν ὑπ' αὐτοῦ πνεῦμα κατεδίωξέν με ἕως ἐν τῇ πόλει ταύτῃ, καὶ ἐκινδύνευσα οὐ μικρῶς. εὗρον δὲ βοηθὸν τὸν καθαρώτατον Κύνωπα καὶ ἐξηγησάμην αὐτῷ περὶ ὧν πέπονθα κακῶν, καὶ εἶπεν πρός με·

1. *ο* N P^2 B: > V | 2. *εχει εν εαυτω* V: *εχει πυθωνος εν αυτω* P^3, *ειχεν* N; P^2 hat hier eine ähnliche Abkürzung wie B (Beil. B II), nämlich nach *καθ ημων· αλλ' ευχαριστως υπενεγκωμεν παντα. οτε γαρ τ. θλιψεις υπενεγκη ημιν κτλ.* Dagegen bestätigt L obigen Text, auch das praes. *εχει* | 3. *ηλθαμεν* V: *ηλθομεν* N, *εισηλθομεν* P^3 | *εν τ. οικω αυτου* V P^3: *in domum hanc* L, > N | *ακαθαρτον* V P^3 L: > N | 4. *εχει τ. νουν αυτου* V P^3: *ειλει καθ' ημων* N | 5. *του θλιψαι ημας* V: *εις κακα περι ημων* P^3, > N s. vorher. L *contra nos animo est infenso* | *μηδεν* V P^3: *μη* N | 6. *ο γαρ — ημιν* nur in V | 7. *οταν* V P^3: *οτε* N P^2 | 8. *επενεγκη* V N P^3: *υπενεγκη* P^2 | *πιστευσει* N: *πιστευση* V P^2 P^3 | *πας* N P^2 P^3: > V | 9. *κηρυττομ.* N P^3: *κηρυσσομ.* V, > mit anderem P^2 | *υφ ημων* V N: *δι ημων θεον* P^3 | 10. *ειτα — Ιωαννου* V cf P^3 (*λαλουμενων υπο Ιω.*): *ταυτα δε αυτου λαλουντος προς με* N, *και ετι λαλουντων ημων τους λογους τουτους* P^2 | 11. *επιστολη — περιεχουσα* V P^3 N (aber *ερχεται επιστ.*): *ηλθεν επιστ. παρα του υιου αυτου περιεχουσαν* (sic) P^2 | 12. *τ. τυπον τ.* V P^2 P^3: *ουτως* N | 13. *πατρι* V N P^3: *και δεσποτη* + P^2 cf den übrigens ganz abweichenden B, *patri et matri* L | 14 *ον εισηγ. — οικον* V N P^3 cf L: *ο δεξιωθεις παρα σου εν τω οικω* P^2 | *κακη περιεργ.* V P^2 P^3: *κακα* N | 16. *κατεδ.* V P^3: *εδιωξεν* N P^2 (dieser > *ενηργησεν — πνευμα*) | *εως εν τη π. τ.* V P^3 L: *εως της πολεως ταυτης* N, *τησδε της πολ.* P^2 | 17. *ου μικρως* N P^3: *αν ει μη* V, > mit anderem P^2 | *ευρον δε* N P^3: *ευρον* V, *και ενετυχον* P^2 | *βοηθον* V N P^3: *περι τουτου* P^2 | *και εξηγ.* N P^3: *εξηγ. γαρ* V, > P^2 | 18. *περι ων πεπ. κακων* N P^3 (> *περι*): *οπερ πεπ. κακον* V, > P^2 | *προς με* V P^3: *μοι* N P^2

τέκνον Ἀπολλωνίδη, ἐὰν μὴ Ἰωάννης ὁ τῶν Χριστιανῶν διδάσκαλος καὶ μάγος θηριομαχήσῃ καὶ κακῶς ἀποθάνῃ, σὺ οὐ δύνασαι τὴν σὴν γῆν οἰκῆσαι, ἀλλ' οὐδὲ τὸν σὸν οἶκον ὄψῃ ἔτι. νῦν οὖν, πάτερ, τὸ σὸν τέκνον δέεται τῆς σῆς προστασίας· οἰκτείρησον τὸν σὸν υἱὸν ἐπὶ τῇ Ἰωάννου ἀναιρέσει, ὅπως ταχέως ἐπανελθὼν ἀπολαύσω τοῦ ἐμοῦ πατρὸς καὶ τῆς ἐμῆς μητρὸς καὶ ἀμφοτέρων τῶν γλυκυτάτων μου ἀδελφῶν. ἔρρωσθε πάντες οἱ ἐν τῷ οἴκῳ ἡμῶν.

Λαβὼν δὲ Μύρων τὴν ἐπιστολὴν τὴν σταλεῖσαν αὐτῷ παρὰ τοῦ υἱοῦ αὐτοῦ Ἀπολλωνίδους καὶ ἀναγνοὺς, ἠσφαλίσατο ἡμᾶς εὐθέως. καὶ ἐξελθὼν ἐπορεύθη πρὸς τὸν ἡγεμόνα καὶ ὑπέδειξεν αὐτῷ τὰ γράμματα τὰ ἀποσταλέντα αὐτῷ παρὰ τοῦ υἱοῦ αὐτοῦ Ἀπολλωνίδους. δεξάμενος δὲ ὁ ἄρχων καὶ ἀναγνοὺς, πολὺ ἐταράχθη καθ' ἡμῶν, μάλιστα διὰ τὸ περιέχειν τὴν ἐπιστολὴν τὸ ὄνομα τοῦ Κύνωπος, ὅτι πάντες οἱ ἐν Πάτμῳ τῇ νήσῳ εἶχον αὐτὸν ὡς θεὸν διὰ τὰ μαγικὰ αὐτοῦ ἐμπαίγματα. καὶ πεισθεὶς ὁ ἡγεμὼν τοῖς λόγοις τοῦ Μύρωνος καὶ τοῖς γράμμασιν τοῦ Ἀπολλωνίδους, ἐκέλευσεν τὸν Ἰωάννην θηριομαχῆσαι. καὶ εὐθέως ἀποστείλας ἐν τῷ οἴκῳ Μύρωνος, ἤγαγον ἡμᾶς οἱ

1. *των Χρ. διδασκ. και* NP^3 cf B: > VP^2 | 2. *θηριομ. κ. κακως* V N P^3: > P^2, der weiterhin stark abweicht | *δυνασαι* N P^3: *δυνηση* V | 3. *την σ. γην* (*πολιν* P^3) *οικ. και* V P^3: *ζησαι* N | *ουδε* V P^3: *ουτε* N | *σον οικον οψη* V N (*οψει*): *οικον οψη ετι τον σον* P^3 | 4. *πατερ* V P^2 P^3B: >N | 5. *τ. σον υιον* N: *σου τ. υιῳ* P^3, *τ. υιον σου* V | *Ιω. αναιρ.* V: *αναιρ.* (*του* + N) *Ιω.* P^3 N | 6. *επανελθων* V P^3: *εμπλησθω και* N | 7. *των* V N: > P^3 | *ερρωσθε — ημων* NP^3 (*απαντες*): *ερρωσο* P^2, *valete* L, > V | 9. *δε* V P^3 P^2 (*δεξαμενος δε*): *ουν* N | *Μυρων* hier V P^2 (× *ο*) P^3: hinter *επιστολην* N | *τ. σταλεισαν — Απολλ.* V L (*quae missa est a filio suo Apoll.*): *του υιου αυτου* vor *την επιστ.* P^2, > N | 11. *ευθεως* V B P^2 (vor *ησφαλ.*): > N | *προς* V P^2 B: *εις* N | 12. *τα γραμμ. — Απολλ.* V: *την επιστολην* N P^2 (+ *του υιου αυτου*) | 13. *δεξαμ. δε ο αρχων και αναγνους* V N (> *ο αρχων*): *ο δε αναγνους* P^2, *αναγν. δε* (+ *αυτην* m^2) *ο αρχων* c m^2 v, *αναγν. δε ταυτην εκεινος* m^1 | 14. *πολυ* V N (hinter *εταρ.*): *μεγαλως* P^2, *πανυ* B | *μαλιστα* N P^2 m^1 c: *και* + V v, *δε και* m^2 | 15. *το ον. τ. Κυν.* N P^2 B: *τ. Κυν. το ον.* V | 16. *ειχον — θεον* V P^2 B (nur m^2 + *τον* nach *ως*): *ως θεον αυτον ειχον* N | *δια — εμπαιγματα* V N B: *δια τας γοητειας αυτου* P^2 | 18. *Απολλων.* V: *υιου αυτου* N, beides L, gar nicht zu vergl. P^2 B | *εκελευσεν* V P^2 (× *τη δε επαυριον*) B: *εκελευεν ευθεως* N | 19. *και ευθ. αποστ.* V L (*et continuo* bei übrigens ziemlich freier Uebersetzung): *αποστ. ουν* N, *και αποστ. επηρεν* (*ηρεν* m^1) *ημας εκ του οικου Μυρ.* B | *ηγαγον — λεγων* p. 61, 3 V: *και λαβων ημας εκελευσεν εν δημοσιω τοπω αχθη-*

ἀποσταλέντες ἐν τῇ δημοσίᾳ φυλακῇ, καὶ μετὰ ἡμέρας τρεῖς ἤγαγεν ἡμᾶς ἐν δημοσίῳ τόπῳ καὶ ἐπηρώτησεν τὸν Ἰωάννην ὁ ἡγεμὼν λέγων· ὁ εὐσεβέστατος ἡμῶν βασιλεὺς αἴτιόν σε ὄντα καταδίκης ἀφῆκέν σε καὶ οὐκ ἐθανάτωσέν σε, καὶ βουλόμενός σε σωφρονισθῆναι ἔπεμψεν ἐνταῦθα, καὶ ἰδοὺ πλείονα ποιεῖτε ἐνθάδε κακὰ ὧν ἐποιήσατε ἐν Ἐφέσῳ. εἰπὲ οὖν, ποίᾳ κακῇ τέχνῃ χρησάμενος ἐδίωξας τοῦ ἐμοῦ πενθεροῦ τὸν υἱὸν καὶ ἐμὸν συγγενῆν. ἀποκρίθητι ταχέως καὶ εἰπὲ τὴν ἀλήθειαν πρὸ τοῦ σε τιμωρηθῆναι, καὶ σπεῦδε ὥστε ποιῆσαι παραγενέσθαι ἐν τῇ πόλει ταύτῃ τὸν ἐμὸν συγγενῆν. λέγε δὲ καὶ ποίας θρησκείας ὑπάρχεις, καὶ τί τὸ ἐπιτήδευμα ὑμῶν καὶ ποίας χώρας ὁρμᾶσαι. ἀποκριθεὶς δὲ Ἰωάννης εἶπεν· Ἱεροσολυμίτης εἰμί, Χριστοῦ δοῦλος τοῦ υἱοῦ τοῦ θεοῦ τοῦ σταυρωθέντος καὶ ταφέντος διὰ τὰς ἁμαρτίας τῶν ἀνθρώπων καὶ ἀναστάντος τῇ τρίτῃ ἡμέρᾳ, ὃς καὶ ἀπέστειλέν με εὐαγγελίζεσθαι εἰς πάντα τὰ ἔθνη πιστεύειν εἰς αὐτόν. ὁ ἡγεμὼν εἶπεν· ὁ εὐσεβέστατος βασιλεὺς διὰ ταύτην τὴν αἰτίαν ἐποίησέν σε ἐν ἐξορίᾳ γενέσθαι, καὶ πάλιν σὺ τοιούτους λόγους προσφέρεις κατὰ σεαυτοῦ. μάθε,

ναι και ειπεν τω Ιωαννη N, και εθετο (+ ημας c) εν τη φυλακη, μετα δε τρεις ημερας (τριτην ημεραν m^2) προαγαγων ημας (+ ο αρχων m^2) εν δημοσιω τοπω επηρωτησε τον Ιω. λεγων B; *et ducti in carcerem publicum, post triduum vero deduxerunt nos in praetorium. dixit autem praeses ad Johannem* L, stark abkürzend P^2 | 3. ευσεβεστ. V N L (*pius*): κρατιστος B, > P^2 | ημων V L: > N P^2 B | οντα V N: υπαρχοντα hinter καταδ. P^2 B | 4. αφηκεν σε V L (*remisit*): εφεισατο σου N, mit B stimmt theilweise P^2 φιλανθρωπια χρησαμενος και τον αιχθιστον σου τροπον εναλαττειν οιομενος προς σωφρονισμον απεστειλεν σοι (sic) ενθαδε εν εξορια νυν δε κτλ. | και βουλ. V: αλλα βουλ. N, *volens autem* L | 5. επεμψεν εντ. κ. ιδου V cf L: εκελευσεν εν εξορια γενεσθαι μετα του σου εταιρου και ελθοντες ενταυθα N, über P^2 s. vorher | ποιειτε ενδαδε κακα V: κακα ποιειτε N | 6. Εφεσω V L: τη Εφεσιων πολει N, mit B in der Hauptsache P^2 | 7. του εμου πενθ. (κηδεστου B P^2) V B P^2 L: Μυρωνος × N | και εμον συγγ. — τον εμον συγγ. l. 10 V cf L (*meumque affinem; responde ergo mihi propere priusquam poenas luas et fac ut redeat affinis meus*): > N | 10. και vor ποιας N P^2 B: > V | 11. και τι — ορμασαι V: και τι το επιτηδ. σου και το ονομα σου P^2, *et ex qua regione ad nos perveneris* L, > N B | 12. Ιω. V N: ο × P^2 B | 13. Χριστου V: και του × N, Ιησου × P^2 B | δουλος hier V: hinter θεου N B, ganz anders P^2 | 14. αμαρτιας hier V: hinter ανθρωπων N, mit beiden stimmt L gegen P^2 wie gegen B | 15. ος και απεστειλεν V P^2 (απεσταλκεν): και αποστειλαντος N B | ευαγγελιζεσθαι V: ευαγγελισασθαι N P^2 B | 18. τοιουτους λογ. V: *alia* (lege *talia*) *verba* L, τους λογ. τουτους N, die andern sind nicht zu vergl. | προσφερεις N: *profers* L, προσφ. προς αυτον V

μιαρώτατε, τιμᾶν καὶ σέβειν τοὺς ἀθανάτους θεοὺς καὶ πείθεσθαι νόμοις βασιλικοῖς, καὶ μὴ ψυχρολόγει καὶ ἐκθείαζε ἄνθρωπον τεθνηκότα διὰ ἀταξίας πολλάς. ὁ δὲ Ἰωάννης εἶπεν· ἐγὼ τὸν ἀθάνατον θεὸν ἀεὶ σέβω καὶ τοῦτον καταγγέλλω τοῖς θέλουσιν ὁσίως καὶ δικαίως ζῆν. ὁ ἡγεμὼν εἶπεν· οὐ χρείαν ἔχομεν πολυλογίας ἐκ τοῦ στόματός σου τοῦ μιαροῦ, ἀλλὰ τὸ κελευσθὲν ποίει καὶ φεῖσαι τῆς διδασκαλίας ταύτης καὶ τὸν ἐμὸν συγγενέα Ἀπολλωνίδην ἀποκατάστησον ὑγιῆ ἐν τῇ πόλει ταύτῃ καὶ ἐν τῷ οἴκῳ αὐτοῦ. ὁ Ἰωάννης εἶπεν· τῆς διδαχῆς ταύτης, ἡγεμών, οὐ δύναμαι φείσασθαι, δι᾿ ἧς καὶ ἡ προσδοκωμένη ἐλπίς μοι ἀπόκειται· εἰ δὲ περὶ Ἀπολλωνίδους τοῦ ῥήτορός τι λέγεις πρός με, οὐδὲν ἐμαυτῷ σύνοιδα κακὸν πράξας εἰς αὐτόν. κέλευσον δέ μοι, ἡγεμών, καὶ ἀποστέλλω τὸν ἐμὸν μαθητήν, καὶ αὐτὸς ἄξει αὐτὸν πρός σε, καὶ εἴ τι ἔχει καθ᾿ ἡμῶν, λεγέτω. ἀπόντος γὰρ αὐτοῦ οὐ δύνασαί με θανατῶσαι, ἐὰν μὴ τὰς αἰτίας τὰς ἐμὰς αὐτὸς παραστήσῃ πρός σε. καὶ ἐκέλευσεν ὁ ἡγεμὼν τοῦτο γενέσθαι καὶ ἀνέπεμψεν τὸν Ἰωάννην ἐν τῇ φυλακῇ, κελεύσας αὐτὸν δεθῆναι ἁλύσεσιν δυσίν. καὶ εἶπεν Ἰωάννης πρὸς τὸν ἡγεμόνα· ἐπίτρεψόν μοι πρῶτον γράψαι πρὸς τὸν Ἀπολλωνίδην ἐπιστολήν, καὶ οὕτως τὰ σίδηρά μοι περιτιθέσθω. ὁ δὲ ἡγεμὼν ἐπέτρεψε τοῦτο γενέσθαι, καὶ

1. *μιαρωτατε* V P^2 B: *μαρωτατε* N | *σεβειν* V: *σεβεσθαι* N | *αθανατους* V B: > N P^2, *deos honorare et colere immortales* L | 2. *νομοις β.* V L: *νομω βασιλικω* N m^2 (c m^1 v > den Satztheil) | *ψυχρολογει και* V N P^3 (*αισχρολογει*): > P^2 B L | 4. *αει* V L: > N | *σεβω* V: *σεβομαι* N | *καταγγ.* hier V: hinter *ζην*, wofür er *ζηναι* hat, N | 5. *ειπεν* V L: *λεγει* N | 6. *πολυλογιας* V P^2 (B *ου χρη σε πολυλογειν*): *πολυρημωνιας* N | *σου* V: > N | 7. *κελευσθεν* V: *κελευομενον* N | *φεισαι* V: *παυσαι* N | 8. *συγγενεα* V N P^2: *συγγενη* m^1 c v, *συγγενην* m^2 | *εν τη πολει τ. και* V L: > N | 9. *Ιω.* V B (*απεκριθη αυτω ο Ιω.*): *δε* × N P^2 | 10. *φεισασθαι* V N m^2: *παυσασθαι* P^2 P^3 c m^1 *αφιστασθαι* v | *η* N P^2 P^3 B: > V | 12. *εμαυτω συν.* N P^2 B: *συν. εμαυτον* V, ganz abweichend P^3 | *κακον — αυτον* V m^2: *κακον ποιησαι αυτω* N cf L, > P^2 B | 13. *ηγεμων* V P^3: > N, *ηγεμων* hinter *συνοιδα* P^2 | *αποστελλω* V P^2 P^3 m^1 c: *αποστελω* N v, *αποστειλω* m^2 | 14. *αυτον* hier N (P^2 P^3 B aber ohne *αυτος* vorher): vor *αξει* V | *προς σε — προς σε* (l. 16) V, wesentlich ebenso P^3, theilweise P^2 B L: > N | 17. *εκελευσεν* V L (*iussit*): *επετρειψεν* P^2 P^3 c v, *επεστρειψεν* Amphil. | 18. *δεθηναι* V: *δεηθηναι* N | 20. *προς τον Απ.* V L: *Απολλωνιδη* N P^2 P^3 B | 21. *περιτιθεσθω* V P^3: *τεθεισθω* N, *περιτειθεσο* P^2 | *ο δε ηγ. επετρ.* V L: *ελογισατο δε ο ηγεμων οτι παντως λυσαι αυτον θελει της μαγειας και επετρ.* N, *και ο ηγ. ελογισατο καθ᾿ εαυτον λεγων οτι κτλ.* (wie N u. auch B) P^3, *ο δε ηγ. λογισαμενος λυσιν* (sic) *αυτον θελει της μαγιας επετρεψεν* P^2

λαβὼν Ἰωάννης χάρτην καὶ μέλαν, ἔγραψεν ἐπιστολὴν περιέχουσαν οὕτως· Ἰωάννης, ὁ ἀπόστολος Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ τοῦ θεοῦ, τῷ πυθωνίῳ πνεύματι, τῷ οἰκοῦντι ἐν Ἀπολλωνίδῃ τῷ ῥήτορι· παραγγέλλω σοι ἐν ὀνόματι πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος ἐξελθεῖν ἀπὸ τοῦ πλάσματος τοῦ θεοῦ μου καὶ μηκέτι εἰσελθεῖν ἐν αὐτῷ, ἔξω δὲ τῆς νήσου ταύτης σε κατοικεῖν, μόνον μὴ εἰς ἄνθρωπον, ἀλλ᾽ εἰς τόπους ἀνύδρους. ἐγὼ Ἰωάννης ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ σταυρωθέντος ἐπιτάσσω σοι τῷ πνεύματι τῷ πυθωνίῳ οὕτως ποιεῖν. δεξάμενος οὖν ἐγὼ τὴν ἐπιστολὴν παρὰ Ἰωάννου ἐπορεύθην ἐν τῇ πόλει, ἐν ᾗ ἦν Ἀπολλωνίδης ὁ ῥήτωρ· τὸ δὲ διάστημα τῆς ὁδοῦ ἦν ὡς ἀπὸ μιλίων ἑξήκοντα. εἰσελθὼν οὖν ἐγὼ ἐν τῇ πόλει διὰ δύο ἡμερῶν, ἀνεζήτησα τὸν Ἀπολλωνίδην καὶ μαθὼν τὸν τόπον, ἐν ᾧ ἦν αὐτὸς ξενιζόμενος, καὶ ἀπελθὼν πρὸς αὐτὸν καὶ ἐγγίσας αὐτῷ, τὸ πυθώνιον πνεῦμα ἐξῆλθεν ἀπ᾽ αὐτοῦ. καὶ εἶπεν Ἀπολλωνίδης πρός με· τί παραγέγονας ἐνταῦθα, ἀγαθὲ μαθητὰ τοῦ ἀγαθοῦ διδασκάλου. καὶ εἶπον πρὸς αὐτόν· τὴν σύνεσιν τῆς ὑμετέρας σοφίας ἐξῆλθον ἀναζητῆσαι καὶ ἀναγαγεῖν σε πρὸς τὸν σὸν συγγενέα τὸν ἡγεμόνα

1. *και μελαν* V: *μεγα* (!) P^3, > N P^2 | *εγραψεν επιστ. περιεχ.* V P^3 L: *εγραψεν* P^2 B (+ *δε* oder *ουν*), *επεγρ.* N | 2. *Ιησου* V P^2 L: *του* B, > N P^3 | 3. *οικουντι* N P^2 P^3 B: *ενοικουντι* V | 4. *παραγγελλω* N P^3 B: *παραγγελω* P^2 V | 6. *μου* V: > N P^3 L B, ganz frei P^2 | *εν αυτω* V v: *εις αυτον* N P^3 m^1 c, > P^2 m^2 | *εξω δε* V P^3 c v (+ *και*): *αλλ εξω* N m^1 m^2 | *της ν. ταυτης* V N: *της ν.* B (m^1 nur *νησου*), *τουτου και* × P^3 | 7. *σε* V m^2 (*ειναι σε*): > N P^3 m^1 v c | *μονον* V P^3: *και* N | 8. *εγω — ποιειν* V cf L (*et haec ego Johannes tibi praecipio in nomine sanctae trinitatis*): > N P^3 B | 10. *την επ. π. Ιω.* V: nur *την επ.* P^2 B, *τα γραμματα* N P^3, *hanc epistolam* L | 11. *εν η* V P^3: *οπου* N, *ενθα* (ohne *εν τη πολει*) P^2 B | *ο ρητωρ — ην* V P^3: *ην γαρ διαστημα* B cf L, > N | 12. *ως* V N: > P^3 B L | *εξηκοντα* V N P^3 L: *εξ* B | *ουν εγω* V P^3: *δε* N | 13. *δυο ημερων* N P^3 L: *μιας ημερας* V | 14. *τον τοπον εν ω ην αυτος* V^2 P^3 (> *τον τοπον*): *οπου ην* N | *και απελθων* V P^3: *απηλθον* N | 15. *και εγγισας αυτω* V (geschrieben *αυτον*): *και ευθεως* N P^3 (ohne *και*), *και αμα τω εγγισαι με αυτον* (!) *ευθεως* P^2 cf B, *statim ut accessi* L | 17. *αγαθε — διδασκαλου* V P^2 P^3 (m^2 v aber *αγαθοτερου*, c m^1 ohne *αγαθε*): *μαθητα του ευεργημενου* (!) *διδ.* N, *bone discipule benignissimi magistri* L | 18. *υμετερας* N P^3: *ημετερας* V | *εξηλθον αναζητ.* V P^3: *παρεγενομην ζητησαι* N, *προς αναζητησιν* (*της σης σοφιας*) *εξηλθον* B | 19. *αναγαγειν* V: *αγαγειν* P^3, *απαγαγειν* N | *συγγενεα* V N P^3

καὶ εἰς τὸν οἶκον πρὸς τὸν σὸν πατέρα. ὁ δὲ Ἀπολλωνίδης, τοῦ πνεύματος τοῦ ἀκαθάρτου ἐξελθόντος ἀπ᾽ αὐτοῦ, ἐγένετο ἐν τῇ τῶν ἀνθρώπων καταστάσει. καὶ εὐθέως ἐπέτρεψεν ἑτοιμασθῆναί μοι ὑποζύγιον καὶ τὸν ἑαυτοῦ ἵππον ἕτοιμον γενέσθαι, καὶ ἐξήλθαμεν ἐπὶ τῇ ὁδῷ ἡμῶν. καὶ εἰσελθόντων ἡμῶν ἐν τῇ πόλει ἠρώτησέν με Ἀπολλωνίδης λέγων· ποῦ καταμένει ὁ σὸς διδάσκαλος; καὶ εἶπον αὐτῷ, ὅτι δυσὶν ἁλύσεσιν αὐτὸν δήσας ὁ ἡγεμὼν ἔβαλεν αὐτὸν εἰς δεινοτάτην φυλακήν. ἀκούσας δὲ ταῦτα ὁ Ἀπολλωνίδης οὐκ εἰσῆλθεν εἰς τὸν οἶκον αὐτοῦ οὐδὲ συνέτυχέν τινι τῶν ἰδίων αὐτοῦ, ἀλλὰ λαβών με ἐπορεύθημεν ἐν τῇ φυλακῇ, καὶ διακρούσας τὰς θύρας, εὐθέως ἤνοιξεν ὁ δεσμοφύλαξ, καὶ ἰδὼν τὸν Ἀπολλωνίδην πεσὼν ἐπὶ τὴν γῆν προσεκύνησεν αὐτόν. καὶ εἰσελθόντων ἡμῶν πρὸς Ἰωάννην, ἰδοὺ ἦν ἐπὶ γῆς ἐρριμένος καὶ ταῖς δυσὶν ἁλύσεσι δεδεμένος, καὶ πεσὼν Ἀπολλωνίδης ἐπὶ πρόσωπον προσεκύνησε τὸν Ἰωάννην. ὁ δὲ Ἰωάννης εἶπεν αὐτῷ· ἀνάστα τέκνον, ὁ θεὸς εὐλογήσει σε. καὶ ἀναστὰς ὁ ῥήτωρ ἐκούφισεν τὰ σίδηρα ἀπὸ τοῦ Ἰωάννου, καὶ λαβὼν αὐτὸν ἐξήλθαμεν ἔξω τοῦ δεσμωτηρίου. καὶ εἶπεν Ἀπολλωνίδης τῷ δεσμοφύλακι· ἐάν τις σοὶ εἴπῃ περὶ τοῦ ἀνθρώπου τούτου, εἰπὲ αὐτῷ, ὅτι Ἀπολλωνίδης

1. *πρ. τον σ. πατ.* V L P^3 (+ *και προς παντας τους σους*): statt dessen *αποκαταστησαι* N | 2. *του ακαθαρτου* V: > N P^3 B (*του δε δαιμονος*), den ganzen Satz > P^2 L | *εγενετο — και ευθεως* V N: > P^3 | 3. *επετρεψεν* B: *υπεστρεψεν* V, *εκελευσεν* N P^3 | 4. *μοι* V: *και εμοι* P^3, *εμοι μεν* m^1 vc, *εμοι* hinter *υποζ.* m^2, > N | *και τον* V P^3: > N, *αυτω δε ιππον* B | *ετοιμον γεν.* V P^3: *ευτρεπισθηναι* B, > N | 5. *εξηλθαμεν — ημων* V: *εξηλθομεν πορευομενοι* P^3, *ωδευσαμεν* N, *nos ad iter accinximus* L | 6. *εν τ. πολει* V P^2 B L: *την πυλην της πολεως* P^3 N | *Απολλ.* V L: > N P^3 | 7. *σος* V cf L (*magistri mei*): > N P^3 B | *δυσιν — φυλακην* V: *ο ηγεμων δυσιν αλυσεσι* (soweit auch P^3, dann *αυτον δησας εβαλεν εις φυλ.*) *κρατει αυτον εις την φυλακην* N | 10. *ουδε* (*ουτε* P^3) *συνετ. τινι* (*τινα* P^3) *τ. ιδ. αυτου* V P^3 cf L: > N | 11. *διακρουσας* N P^3: *διακρουσαντος αυτου* V, aus L (*pulsanti illi custos carceris aperuit*) lässt sich nichts schliessen, da auch jene härtere LA so gemeint ist | 12. *τον Απολλ.* V N: *οτι Απολλ. εστιν* P^3 cf L | *πεσ. επι τ. γην* V: *πεσ. επι προσωπον* P^3, > N | *αυτον* N P^3: *αυτω* V | 13. *εισελθοντων — ειπεν* l. 16 N, ähnlich P^3 (*ελθοντων . . . ην αυτος ριφεις κ. δεδ. ταις δ. αλ. κ. ευθεως Απ. πεσων προσεκ. τον Ιω. ο δε ειπεν*): *εισελθων Απ. προσεπεσεν τω Ιω. ο δε αποστολος ειπεν* V | 17. *ο ρητωρ* V: *Απολλωνιδης* P^3 L, > N | 18. *λαβων* V P^3: *παραλαβων* N | *εξηλθαμεν* V: *εξηλθομεν* N, *εξηλθεν* P^3 | *εξω* V P^3: *απο* N | 19. *τις* P^3 (das ist auch der Sinn von V): *τι* V N L | 20. *ειπη* hier P^3 N (+ *ο ηγεμων* wie L): hinter *τουτου* V | *ειπε* P^3 N: *ερεις* V

ὁ ῥήτωρ ἐλθὼν ἐπῆρεν αὐτόν. λαβὼν οὖν ἡμᾶς εἰσήγαγεν ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ ἦν ὁ πατὴρ αὐτοῦ καὶ ἡ μήτηρ αὐτοῦ καὶ οἱ ἀδελφοὶ αὐτοῦ πενθοῦντες περὶ τῆς ἀποδημίας αὐτοῦ. ὡς οὖν εἶδον αὐτόν, ἀνέστησαν πάντες καὶ κατεφίλουν αὐτὸν μετὰ δακρύων. καὶ εἶπεν πρὸς αὐτὸν Μύρων ὁ πατὴρ αὐτοῦ· τί τὸ γεγονός σοι, τέκνον, ὅτι ἀπέδρασας ἀπὸ τοῦ σοῦ οἴκου καὶ ἐποίησας μέγα πένθος τῷ πατρί σου καὶ τῇ μητρί σου καὶ τοῖς ἀδελφοῖς σου καὶ πᾶσι τοῖς σοῖς. καὶ εἶπεν πρὸς αὐτὸν Ἀπολλωνίδης· μεστὸς εὑρέθη ὁ οἶκος ἡμῶν πολλῶν ἁμαρτιῶν. καὶ εἰσελθόντος τοῦ ἀποστόλου Ἰωάννου ἐν τῷ οἴκῳ ἡμῶν ἠγνοήσαμεν τὰ κατ᾽ αὐτόν, καὶ τίς ὁ ἀποστείλας αὐτόν, καὶ τίς ὁ ἀποσταλείς. καὶ διὰ τοῦτο, πάτερ, ἐγένετο ἡμῖν ταῦτα, ὅπως διὰ τοῦ ἀποσταλέντος ἐπιγνῶμεν καὶ τὸν ἀποστείλαντα αὐτόν. ἀκούσας δὲ ταῦτα Μύρων παρὰ τοῦ υἱοῦ αὐτοῦ ἐπείσθη αὐτῷ

1. *επηρεν* V: *ελαβεν* N. *απελυσεν* P^3 L *(solvit)* | *λαβων ουν ημας εισηγ.* V P^3: *και εισηγ. ημας* N | *εν τω οικω* V N: *εις τον οικον* P^3 | 2. *αυτου* hinter *μητηρ* N P^3: > V | 3. *αυτου* hinter *αδελφοι* P^3: > V N | *αποδημ.* V: *απουσιας* N P^3 | *αυτου* V N: *Απολλωνιδους* P^3 | 4. *παντες* V N: *απαντες* P^3. Während hier P^3 durchweg mit V oder N geht, gibt P^2 nach *εις τον οικον αυτου* (oben l. 2) folgende Abkürzung: *και ιδοντες αυτον οι γωνεις αυτου εχαρησαν χαραν μεγαλην καταφιλουντες αυτον. και καθεσθεντων ημων διηγησατο αυτοις απαντα τα πραχθεντα επ᾽ αυτω υπο του δαιμονος. και οτι ηνικα ηλθεν ο μαθητης του Χριστου πολλην καταστασιν εσχεν η ψυχη μου και γαληνην ο λογισμος μου, οιο* (= *οἵῳ*) *γαρ τροπω εισηλθεν εν τω στοματι μου μελας κυων, τοιουτω τροπω και εξηλθεν. τοτε λεγει προς αυτον ο αποστολος του Χριστου· θελεις τεκνον Απολλονιδη ιδειν την δυναμιν του Χριστου. ου μονον γαρ κατα προσωπον ελεγχωμεν τους δαιμονας αλλα και δι᾽ επιστολων τουτους διωκωμεν. και λαβων την κατα του δαιμονος επιστολην εδειξεν τω Απολλωνιδη. ο δε αναγνους κατεσχεν αυτην χαριν ευλογιας κτλ.* cf p. 67, 17 sqq. meines Textes. Die Vergleichung dieser Abkürzung mit der in B (bei Amphil. p. 27 sq. und cod. Coisl.) macht es wahrscheinlich, dass der Redactor B hier schon einen gekürzten Text vorfand. Den vollständigeren Text geben hier ausser V N P^3 m^3 auch L und die slav. Version | 5. *και ειπεν* V L: *ειπεν δε* N P^3 (> *προς αυτον*) | 6. *το γεγονος σοι* V N: *σοι γεγονε* P^3 | *απο* V P^3: > N | 7. *τω πατρι — σοις* V P^3 cf L: *ημιν* vor *μεγα* N | 8. *και ειπεν* V P^3: *ειπεν δε* N | *πρ. αυτον Απολλ.* V: *ειπεν Απολλ πρ. τον πατερα αυτου* N, nur *Απολλ.* P^3 | 9 *και εισελθ.* V N: *εισελθ. γαρ* P^3 | 10. *του απ. Ιω.* (*Ιω. τ. απ.* P^3) *εν τ. οικω ημων* V P^3: *τ. αποστολου Χριστου* N | 11. *τα κατ αυτον και* V P^3: > N L | 12. *και δ. τουτο* V: *δ. τουτο ουν* N P^3 | *ημιν ταυτα* V: *ταυτα ημιν* N P^3 | *δια του — αυτον* V: *δι᾽ αυτου γνωμεν τον αποστειλαντα και τον αποσταλεντα* N, *δια τουτου επιγνωμεν* (*κτλ.* wie N) P^3

καὶ εἶπεν πρὸς αὐτόν· καὶ εἰ ταῦτα οὕτως ἔχει, υἱέ μου, πορευθῶμεν καὶ ἀναγγείλωμεν τῷ ἡγεμόνι, ὅτι αὐτὸς ἐκέλευσεν τὸν Ἰωάννην βληθῆναι ἐν τῇ φυλακῇ κατὰ γνώμην ἐμὴν διὰ τὰ γράμματα τὰ ἀποσταλέντα παρὰ σοῦ. καὶ εἶπεν Ἀπολλωνίδης πρὸς τὸν πατέρα αὐτοῦ· περὶ τούτου μηδὲν ἀγωνιάσῃς, πάτερ, ὅτι ὁ ἡγεμὼν συγγενής μου ἐστίν, καὶ πάντα ὅσα ἂν εἴπω πρὸς αὐτόν, ποιήσει καὶ θελήσει. καὶ εἶπεν Ἀπολλωνίδης πρὸς Ἰωάννην· διδάσκαλε, εἰπὲ λόγον ἀγαθὸν καὶ φώτισον ἡμᾶς. ὁ δὲ ἀπόστολος πρὸς αὐτόν· πρῶτον αὐτὸς ἐξήγησαί μοι, διὰ τί ἐγκατέλιπες τὸν σὸν οἶκον καὶ τὴν σὴν πόλιν καὶ ἀπέδρας. ὁ δὲ Ἀπολλωνίδης εἶπεν πρὸς Ἰωάννην· ἡ αἰτία τοῦ ἀποδρᾶσαί με αὕτη ἐγένετο· γινώσκει ὁ πατήρ μου καὶ ἡ μήτηρ μου τοῦτο, ὅτι τριῶν ἐνιαυτῶν ἤμην, καὶ ὡς ἀνεκείμην ἐπὶ τῆς κλίνης, ἦλθέν τις καὶ διασείσας με διύπνισέν με, καὶ εἶδον αὐτόν, καὶ ἦσαν οἱ ὀφθαλμοὶ αὐτοῦ ὡσεὶ λαμπάδες καιόμεναι, καὶ τὸ πρόσωπον αὐτοῦ μεμελανωμένον ὑπὲρ ἀσβόλην. καὶ εἶπεν πρός με· ἄνοιξόν σου τὸ στόμα, καὶ ἤνοιξα, καὶ εἰσῆλθεν διὰ τοῦ στόματος καὶ ἔπλησέν μου τὴν κοιλίαν, καὶ ἀπ᾽ ἐκείνης τῆς ἡμέρας ἐγνώριζέν μοι περὶ καλῶν τε καὶ κακῶν καὶ περὶ πάντων τῶν ἐν τῷ οἴκῳ μου, οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ πᾶς ὁ συντυγχάνων μοι ἐν ἀνάγκῃ ὢν ἐμάν-

1. προς αυτον N P^3: > V | υιε μου V P^3: τεκνον N | 2. αυτος V N: ουτος P^3 | 3. τον Ιω. V P^3 (hinter βληθ.): αυτον hinter βληθ. N | 5. περι τουτου V P^3 L: > N | 6. οτι V P^3: ως γαρ γινωσκεις N | μου V P^3: ημων N, *(gener) tuus* L | 7. ειπω V P^3: ειπωμεν N | ποιησει V: ποιηση P^3, ταυτα ποιει N | και θελ. V: > N P^3 | και ειπεν Απ. π. Ιω. V N: και στραφεις προς τον Ιω. ο Απ. λεγει P^3 | 8. διδασκαλε — προς Ιω. l. 11 V P^3 (διδασκ. nach αγαθον, ωφελησον statt φωτισον, τεκνον vor εξηγησαι, απεδρασας εις ετεραν πολιν statt απεδρας) L (beinah wie P^3): > N | 12. εγενετο V P^3: εστιν N | γινωσκει V P^3 (+ και) m^3: γιγνωσκει N | 13. τουτο V P^3: > N | οτι τριων — διασεισας με V cf L: bis κλινης ebenso N (doch ἂν ἐκείμην) dann μου υπνω βαθει κατασχομενος παρεστη μοι τις ανθρωπος εις τα αριστερα μερη της κλινης και σεισας cf m^3; οτι οτε ημην επι της κλινης μου κειμενος και υπνωτων παρεστη μοι ανθρωπος εις τ. αριστ. μερη της κλ. μου και διασεισας με P^3 | 15. και ησαν — ασβολην V P^3 (nur ωσ statt ωσει u. σαπριν [sic] hinter ασβολην) cf L: μεμελανωμενον υπερ ασβολην σαπρην ουτινος οι οφθαλμοι ως λαμπ. καιομεναι ησαν N | 17. ειπεν V P^3: λεγει N | ηνοιξα και V P^3: ως ηνοιξα N | 19. εγνωριζεν V P^3: εγνωρισεν N | καλων τε κ. κακ. V P^3: κακων και καλ. N | 20. τω οικω μου V: τ. οι. ημων P^3 L, οικω N | 21. τουτο V N: > P^3 | μοι V N: με P^3

θανεν τὴν αἰτίαν τοῦ πράγματος παρ᾽ ἐμοῦ. ὡς οὖν ἦλθες ἐν τῷ οἴκῳ ἡμῶν, εἶπεν ἐκεῖνος πρός με· ἔξελθε ἔνθεν Ἀπολλωνίδη, μὴ κακῶς ἀποθάνῃς· οὗτος γὰρ ὁ ἄνθρωπος μάγος ἐστὶν καὶ ζητεῖ σε θανατῶσαι. καὶ εὐθέως ἐξῆλθον καὶ κατεδίωξέν με ἕως ἔξω τῆς πόλεως, καὶ οὐκέτι ἔασέν με ἐπιστρέψαι, λέγων πρός με· ὅτι εἰ μὴ Ἰωάννης ἀποθάνῃ, σὺ οὐ δύνασαι τὸν οἶκόν σου οἰκῆσαι. καὶ ἐπηρώτησα τὸν καθαρώτατον Κύνωπα καὶ αὐτὸς ταὐτά μοι εἶπεν. καὶ ἐλθόντος τοῦ σοῦ μαθητοῦ ἐν τῇ πόλει, ἐν ᾗ ἤμην οἰκῶν, ὡς εἶδον αὐτόν, [τῷ τρόπῳ ᾧ εἰσῆλθεν ἐν τῇ κοιλίᾳ μου, οὕτως καὶ ἐξῆλθεν ἀπ᾽ ἐμοῦ, καὶ εὐθέως πολλοῦ βάρους ἐκουφίσθην καὶ πολλὴν εὐθύτητα ἔσχεν ὁ λογισμός μου καὶ ἀγαθὸς ἐγενόμην περὶ τὸν σὸν μαθητήν. καὶ εἶπεν Ἰωάννης πρὸς Ἀπολλωνίδην· θέλεις ἰδεῖν τὴν δύναμιν τοῦ ἐσταυρωμένου, τέκνον Ἀπολλωνίδη; τὸ εἰσελθὸν ἐν τῇ κοιλίᾳ σου πνεῦμα Πύθωνος ἦν. καὶ ὡς ἤλθαμεν ἐν τῷ οἴκῳ σου, ἵνα μὴ διωχθῇ παρ᾽ ἡμῶν διὰ τῆς δυνάμεως Ἰησοῦ Χριστοῦ, ἐδίωξέν σε ἀπὸ τοῦ σοῦ οἴκου. ἄκουε δέ, τέκνον, οὐ μόνον ἐλέγχομεν ἡμεῖς κατὰ πρόσωπον τοὺς πονηροὺς καὶ ἀκαθάρτους

1. *ηλθες* V: *εισηλθες* P^3 L, *εισηλθεν ο αποστολος του Χριστου* N | *εν τω οικω* V: *εις τον οικον* N P^3 (× *προς ημας*) | 2. *εκεινος* V N: > P^3 | *ενθεν* V: *εντευθεν* N P^3 | 4. *σε θανατωσαι* N V (hier aber buchstäblich *ζητησαι θανατωσε*): *θανατωσαι σε* P^3 | *εξηλθον και* V N: > P^3 | 5. *εξω* V: *τησδε* N P^3 sachwidrig | *ουκετι* V P^3: *ουκ* N | *εασεν* V N: *ειασεν* P^3 | 6. *ει* V: *εαν* N P^3 | *Ιω.* V P^3: *ο* × N | *ου δυν.* hier V: vor *οικησαι* P^3, hinter *οικησαι* N | 7. *τον* V P^3: *εις* N | *σου* V N: *σον* vor *οικον* P^3 | *και επηρ.* N P^3: *επηρ. δε και* V | *καθαρ.* V N: > P^3 L | *ταὐτὰ* (geschrieben *ταῦτα*) V N: *τα αυτα* P^3 | 8. *μοι ειπεν* V N: *και απηγγειλε μοι* vor *και αυτος* P^3 | *και ελθ.* N P^3: *ελθ. δε* V | *σου μαθ.* N P^3: *μαθ. σου* V | 9. d. zweite *εν* V P^3: > N | *οικων* V P^3: > N | *αυτον* V P^3: *ευθεως* + N | *τω τροπω ω εισηλθεν* V N: *το πρωτον εισελθοντα* P^3 | 10. *απ᾽ εμου* V P^3: > N cf Göthe, Faust I: 's ist ein Gesetz der Teufel und Gespenster; wo sie hereingeschlüpft, da müssen sie hinaus | *ευθεως* V L: > N P^3 | 11. *ευθυτηταν* V | 13. *και ειπεν* V: *ειπεν δε* N P^3 | *την* V P^2 (s. oben zu p. 65, 4) P^3 B: > N | 14. *εσταυρ.* V N P^3 B: *Χριστου* P^2 | *τεκν. Απ.* V P^3: *τεκνον* v, > N P^2 B | *εν τη κοιλια* V P^3: *εις την κοιλιαν* N | 15. *ηλθαμεν* V: *ηλθομεν* N, *εισηλθομεν* P^3 | 16. *δια τ. δυν.* V P^3 L (*per virtutem*): *τη δυναμει* N | *Ιησου Χρ.* V L: *του Χρ. δια τουτο* N P^3 | 17. *σου οικ.* V: *οικ. σου* N P^3 | *δε* V N: > P^3 | *τεκνον* V N (dieser allein + *και φρασω σοι οτι*) L (*nunc autem fili mi*): *τεκνον Απολλωνιδη* P^3 | *ου — προσωπον* V: *ου μονον κατα προσ. ημων ελεγχ.* N, *ημεις ου κατα προσ. ελεγχ.* P^3, *ου μονον γαρ* (*ημεις* + B) *κατα προσ. ελεγχ.* P^2 B | 18. *και ακαθ.* V P^3 cf L: > N, *τους ακαθ.* ohne *πονηρους* B, nur *τ. δαιμονας* P^2

δαίμονας διὰ τοῦ ὀνόματος Ἰησοῦ Χριστοῦ τοῦ θεοῦ ἡμῶν, ἀλλὰ καὶ δι᾽ ἐπιστολῶν τούτους ἐν τῇ δυνάμει αὐτοῦ διώκομεν. καὶ λαβὼν παρ᾽ ἐμοῦ Προχόρου Ἰωάννης τὴν ἐπιστολὴν τὴν σταλεῖσαν κατὰ τοῦ πυθωνίου πνεύματος, ἔδειξεν τῷ Ἀπολλωνίδῃ. καὶ λαβὼν Ἀπολλωνίδης καὶ ἀναγνοὺς ἐκράτησεν αὐτὴν παρ᾽ ἑαυτῷ; καὶ λαβὼν τὸν Ἰωάννην καὶ ἐμὲ καὶ Μύρωνα τὸν πατέρα αὐτοῦ καὶ τοὺς ἀδελφοὺς αὐτοῦ, ἐπορεύθημεν πρὸς τὸν ἡγεμόνα, καὶ ἀνήγγειλεν αὐτῷ Ἀπολλωνίδης πάντα ὅσα ἔπαθεν παρὰ τοῦ πυθωνίου πνεύματος καὶ τὰ ἀγαθὰ τοῦ ἐμοῦ διδασκάλου καὶ μαθητοῦ τοῦ Χριστοῦ. ἀκούσας δὲ ταῦτα ὁ ἡγεμὼν καὶ αὐτὸς προσεκλίθη πρὸς ἡμᾶς καὶ πάνυ ἠγάπησεν τὸν Ἰωάννην. καὶ ἐξελθόντες ἀπὸ τοῦ ἡγεμόνος ἤλθομεν ἐν τῷ οἴκῳ Μύρωνος. ὑπολαβὼν δὲ Ἰωάννης ἤρξατο ἀπὸ τῶν θείων γραφῶν διδάσκων πάντας τοὺς ἐν τῷ οἴκῳ Μύρωνος. κατηχηθέντες δὲ ἀπὸ τῶν θείων γραφῶν παρεκάλεσαν τὸν Ἰωάννην φωτίσαι αὐτούς, καὶ διδάξας αὐτοὺς τὰ περὶ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος ἐβάπτισεν πάντας τοὺς ἐν τῷ οἴκῳ Μύρωνος καὶ ἦμεν παρ᾽ αὐτοῖς.

Ἡ οὖν γυνὴ τοῦ ἡγεμόνος θυγατὴρ οὖσα Μύρωνος ὡς εἶδεν, ὅτι ὁ πατὴρ αὐτῆς καὶ ἡ μήτηρ καὶ οἱ ἀδελφοὶ αὐτῆς τῷ Χριστῷ ἐπίστευσαν, εἶπεν πρὸς τὸν ἄνδρα αὐτῆς· ἰδοὺ δὴ ὁ οἶκος τοῦ πατρός μου ἐπίστευσαν πανοικὶ τῷ ἐσταυρωμένῳ, τῷ

1. *Ιησου* V: *του* N P³ | *του θεου ημων* V: > N P³ | 2. *δι* N P² P³ B: *δια* V | *διωκομεν* V P² P³ B: *φυγαδευομεν* V | 3 *Προχορου* V: > N P³ L | 4. *σταλεισαν* V v: *αποσταλεισαν* m², *πεμφθεισαν* N P³ m¹ c, > P² | 5. *κ. λαβων Απολλ.* V: > N P² P³ B | 6. *παρ᾽ εαυτω* V B: > N etc. | *και εμε* V L: > N, nur *τους γονεις αυτου* P², *τον ιδιον πατερα* (m² *τους γονεις*) *και τους αδελφ. αυτου κ. ημας* B | 8 *Απολλ.* V: > N etc. | 9. *παρα* V P³: *υπο* N | *του εμου διδ.* V P³: *Ιωαννου* N | 10. *και μαθητου του Χρ.* V: vielleicht las L *και μαθητου αυτου*, > N P³ | 11. *προσεκλιθη* N P³ (*—κλη—*) cf L *(capite inclinato)*: *παρεκληθη* V, *προσεκολληθη* B, *προσετεθη* P² | *ηγαπησεν τ. Ιω.* V: *ηγαπα τον εμον διδασκαλον* N, *dilexit Joannem magistrum meum* L | 12. *απο* V: *εκ* N | *εν τω οικω Μ.* V: *εις τον οικον Μ. και ημεθα εκει* N | 13. *ηρξατο* V L: > N | 14. *διδασκων — φωτισαι αυτους* V: *παρεκαλει αυτους οπως βαπτισθωσιν* N ohne Stütze in den andern Zeugen | 17. *παντας* V: *απαντας* N, *πανοικι* P² | 18. *ημεν* V: *ημεθα* N | 19. *θυγατηρ ουσα Μ.* V L cf P² (*υπειρχεν θυγατηρ του Μυρωνος και*), beinah ebenso B: > N | *ως* N: *δε* + V | 20. *οτι — επιστευσαν* V cf L: *τον πατερα αυτης πιστευσαντα και παντας τους εν τω οικω* N | 21. *δη — πανοικι* V: *ο πατηρ μου πανοικι επιστευσεν* N, *ολοτελως* (*πανοικι* P³) *ο οικος του πατρος μου επιστευσεν* (*—σαν* c m²) B P³

ὑπὸ Ἰωάννου κηρυττομένῳ, θέλησον οὖν καὶ αὐτὸς πιστεῦσαι, ὅπως καὶ ὁ οἶκος ἡμῶν δοξασθῇ σὺν τῷ οἴκῳ τοῦ πατρός μου. καὶ εἶπεν πρὸς αὐτὴν Λαυρέντιος ὁ ἡγεμών· Χρυσίππη, ἐφ' ὅσον εἰμὶ ἐν τῇ ἀρχῇ ταύτῃ, οὐ δύναμαι τοῦτο ποιῆσαι. καὶ εἶπεν Χρυσίππη πρὸς αὐτόν· ἐν τῇ ἀρχῇ ταύτῃ μᾶλλον ὑπάρχων περισσοτέρως δύνασαι ἡμῶν εἶναι τεῖχος πρὸς τοὺς διώκοντας ἡμᾶς καὶ τὸν διδάσκαλον ἡμῶν Ἰωάννην. καὶ εἶπεν ὁ ἡγεμὼν πρὸς αὐτήν· γίνωσκε, γύναι, ὅτι βδελυκτή ἐστιν ἡ θρησκεία τῶν Χριστιανῶν οὐ μόνον ἐν βασιλεῦσιν, ἀλλὰ καὶ πᾶσιν ἀνθρώποις. ἐὰν οὖν βαπτισθῶ καὶ ἔσομαι περιποιούμενος τὸν οἶκον τοῦ πατρός σου καὶ Ἰωάννην καὶ πάντας τοὺς πιστεύοντας τῷ Χριστῷ, γενήσονται διχοστασίαι καὶ σχίσματα πολλὰ καὶ ἀπολλύμεθα πάντων συναχθέντων ἐπὶ τὸ αὐτό, καὶ κατακαύσουσιν ἡμᾶς πυρί, ἢ πορεύσονται πρὸς τὸν βασιλέα καὶ αὐτὸς τιμωρήσεται ἡμᾶς. ἐὰν δὲ ἔσωμαι [ἐν] τῇ προτέρᾳ ἀγωγῇ, προσποιήσομαι μὲν τὸν Ἑλληνισμόν, οὐκ ἔσομαι δὲ ἀντεχόμενος αὐτοῦ, ἀλλ' ἔσομαι φυλάττων τὰς ἐντολὰς τοῦ Χριστοῦ καὶ ἐπικεκαλυμμένως περιποιοῦμαι πάντας τοὺς πι-

1. *πιστευσαι* V L (*cupio ergo ut credamus*): *κυριε μου* N, > P^3 B | 3. *και — αυτην* V: *ειπεν δε* N B | *Χρυσιππη* V: *προς την γυναικα αυτου Χρυσιππην* N B P^2 (*Χρυσ. τ. γυν. αυ.*) | *εφ οσον* N P^2 B: *εως δ' αν* V | 4. *και ειπεν Χρ.* V: *ειπεν δε Χρ.* N | 5. *εν τη — υπαρχων* V: *και μαλιστα οντος σου εν τη αρχη ταυτη* N, *και μαλ. εν τη αρχη ων* B | 6. *ημων* V: *ημιν* N | 7. *ημων* V: *ημιν* N | *και ειπεν* V: *ειπεν δε* N | 9. *εν* V: *παρα* N (B bei sonstiger Abweichung *παρα πασιν*) | 10. *πασιν* V: *παρα* × N | *βαπτισθω* N P^3: *εγω πεισθω* V | 11. *και Ιωαννην* V: *και τον ημετερον* (+ *οικον και τον* N) *Ιωαννην* P^3 N | 13 *και απολλυμεθα — κατακαυσουσιν* (geschrieben *—σωσιν*) N: *και αποθανουμεθα παντες η κατακαυσωσιν* V, *ει συναχθεντες οι λαοι εμπρησωσιν* P^2, *και συναχθεντες* (*συναχθωσιν* v, *συναχθησονται* m^2) *επι το αυτο* (*εν το αυτο και* v, *και* + m^2) *κατακαυσωσιν* (*—σουσιν* c m^2) B | 14. *η πορευσονται — ημας* V: *η και προς τον Καισαρα πορευθεντες εντυχωσι* (+ *τα* m^1) *καθ ημων* B, *η ειπωσιν τω βασιλει και ο βασιλευς τιμωρησηται ημας* N | 15. *εαν δε εσομαι* N: *εαν η μι* (= *ειμι*) V, *αλλ' εν τη προτερα διαγωγη εσομαι προσποιουμενος τον ελληνισμον και λεληθοτως προσποιουμαι* (m^2, *προσοικειουμαι* c m^1) *παντας τους τω Χριστω πεπιστευκοτας* (m^1 c, *παντων των Χριστιανων* m^2) *κτλ.* B, *αλλ εσομαι μεν εν τω κρυπτω περιποιουμενος τον Χριστιανισμον, εν τω φανερω δε τον Ελληνισμον* P^2, die sonderbarsten Misverständnisse L | *εν* aus B ergänzt: > V N | 16. *εσομαι* N: *εασομεν* V | 17. *αλλ' — παντας* N (cf v, der *αλλ'* >, dann *φυλαττων μυστικως . . . επικεκρυμμενως αντεχομενος των Χριστιανων*): *αλλ' εσομαι πεπιποιουμενος απαντας* V, s. übrigens zu l. 15

στεύοντας τῷ Χριστῷ, καὶ μετὰ τὴν πλήρωσιν τῆς ἀρχῆς ταύτης γενήσομαι τέλειος Χριστιανὸς καὶ ἔσομαι τὸ λοιπὸν ἐν τῷ φανερῷ. σὺ οὖν τὸ τέκνον σου λαβὲ καὶ εἴσελθε εἰς τὸν οἶκον τοῦ πατρός σου, καὶ διδάξει σε Ἰωάννης καὶ τὸν υἱὸν ἡμῶν καὶ φωτισάτω ὑμᾶς, καὶ ἐσόμεθα φυλάττοντες τὰ τῶν Χριστιανῶν. βλέπε οὖν, γύναι, μὴ καταφρονήσῃς ἑνὸς τῶν λαλουμένων σοι παρὰ Ἰωάννου, ἀλλὰ μηδὲ ἐμοὶ ἀναθῇ τὰ μυστήρια, ἃ ἀναγγελεῖ σοι, ἕως ἂν γένωμαι τέλειος Χριστιανός. εἰ γὰρ ὁ νόμος ὁ ἑλληνικὸς τιμωρεῖται τὸν ἀποκαλύπτοντα τὰ μυστήρια τῶν θεῶν, πόσῳ μᾶλλον ὁ νόμος τοῦ Χριστοῦ, ὁ κηρυττόμενος διὰ Ἰωάννου τοῦ ἀποστόλου αὐτοῦ. βλέπε σεαυτήν, γύναι, καὶ τὸν υἱόν σου τὸν μονογενῆ ἡμῶν καὶ γλυκύτατον. ἀκούσασα δὲ ταῦτα ἡ Χρυσίππη παρὰ τοῦ ἡγεμόνος εὐθέως ἀνέστη καὶ ἔλαβεν τὸν υἱὸν αὐτῆς καὶ ἐπορεύθη ἐν τῷ οἴκῳ Μύρωνος τοῦ πατρὸς αὐτῆς, καὶ εἰσελθοῦσα προσεκύνησεν πρῶτον τὸν Ἰωάννην, ἔπειτα τὸν πατέρα αὐτῆς καὶ τὴν μητέρα, ὁμοίως καὶ τοὺς ἀδελφοὺς αὐτῆς, καὶ εἶπεν Ἰωάννης πρὸς αὐτήν· τίς ἡ αἰτία, δι' ἣν παρεγένου πρὸς ἡμᾶς, τέκνον Χρυσίππη; ἡ δὲ πρὸς αὐτόν· τούτου χάριν, διδάσκαλε, παρεγενόμην, ὅπως δο-

1 *και μετα* V B: *μετα δε* N v | 2. *τελειος* V P^2 v: *τελειως* N, *φανερως τελειος* B | *το* V: > N | 3. *σου* V: *ημων* N B L, der alles umgestaltende P^2 hat gleich nachher *λαβε συν του τεκνου* (!) *σου το λουτρον της αφθαρσιας* | 4. *διδαξει σε* V: *διδαξατω υμας* N | *και τ. υ. ημων* V: > N | 5. *εσομεθα* V: *εσεσθε* N | *των Χριστ.* V: *προς τον Χριστον* N | 6. *βλεπε ουν* V: *βλεπε δε* N B, *και βλεπε* P^2 | *λαλουμενων* N: *λεγομενων* P^2 B, *λαλουντων* V | 7. *ανάθη* V N c, *αναθηι* Amphil. nach m^1 m^2(?): *αναθης* P^3, *θαρρησης τι των μυστηριων κτλ.* v | 9. *ο* vor *ελλην.* V P^3 v (der allein von den Hss. von B diesen Satz hat): > N | 10. *ποσω* V P^3 v: *πολλω* N | *ο κηρυττομενος — αυτου* V P^3: (*του μεγαλου θεου*) *του υπο Ιωαννου κηρυττομενου* v, > N | 11. *βλεπε σεαυτην* V P^3: *βλετε* (sic) *ες σεαυτην* N | 12. *σου* N P^3: *ημων* V | *ημων* N: > P^3 V | *και γλυκ.* N P^3: > V | 13. *ταυτα* hier V: hinter *Χρυσ.* N, > P^3 | *του ηγεμονος* V: *αυτου* N, *του ανδρος* m^2, *τ. ανδρος αυτης* c v, *τ. ιδιου ανδρος* m^1 | *ανεστη και ελ.* V cf v (*ανεστη και παραλαβουσα*) m^2 (*εγερθεισα παρελαβε*): *ελαβεν* vor *ευθεως* N | 15. *πρωτον* V v: daraus verderbt *εισελθουσα προς* (c, *προν* Amphil.) *Ιωαννην προσεκυνησεν αυτω* c m^1 m^2, > N | 16. *τ. πατερα — αδελφους αυτης* V v (> das letzte *αυτης*), ähnlich m^2: *τους γονεις* N, *επειτα τους γονεις αυτης και τους αδελφους* c, wieder anders m^1 | 17. *και ειπεν Ιω. πρ. αυτην* V: *ειπε δε πρ. αυτην Ιω.* N B (*αυτη ο*) | 18. *παρεγενου* N P^2 B: *παραγεγονας* V | *Χρυσιππη* V N: > P^2 L B | *η δε* V: *ειπεν δε* N | 19. *παρεγενομην* N B (m^2 *εγενομην*): *παραγεγονα* V | *οπως — μου* V: *ινα δοξασθη ο οικος μου μετα του πατρος μου και συν του*

ξασθῇ καὶ ὁ οἶκος ὁ ἐμὸς σὺν τῷ οἴκῳ τοῦ πατρός μου. καὶ εἶπεν αὐτῇ Ἰωάννης· ἀγαθυνεῖ κύριος τὴν καρδίαν σου ἐπὶ τούτῳ καὶ τοῦ ἀνδρός σου καὶ τοῦ υἱοῦ σου καὶ παντὸς τοῦ οἴκου τοῦ πατρός σου. καὶ πεσοῦσα Χρυσίππη ἐπὶ τὴν γῆν προσεκύνησεν τῷ ἀποστόλῳ τοῦ Χριστοῦ καὶ εἶπεν· διδάσκαλε ἀγαθέ, δὸς καὶ ἐμοὶ τὴν ἐν Χριστῷ σφραγῖδα, ὅπως συνκαταριθμηθῶμεν καὶ ἡμεῖς τῷ οἴκῳ τοῦ πατρός μου. καὶ εἶπεν αὐτῇ Ἰωάννης· ἄγωμεν πρῶτον, συντύχωμεν τῷ ἀνδρί σου καὶ γνώμῃ αὐτοῦ γενέσθω τοῦτο. ἡ δὲ Χρυσίππη ἐξηγήσατο τῷ Ἰωάννῃ πάντα ὅσα ἤκουσεν παρὰ τοῦ ἀνδρὸς αὐτῆς. καὶ ἐχάρη Ἰωάννης χαρὰν μεγάλην, ἀκούσας ὅτι κατὰ σύνεσιν τοῦ ἡγεμόνος ἡ γυνὴ αὐτοῦ θέλει φωτισθῆναι. καὶ διδάξας αὐτὴν καὶ τὸν υἱὸν αὐτῆς καὶ παραγγείλας αὐτῇ φυλάττειν τὰ λαληθέντα παρ᾽ αὐτοῦ ἐβάπτισεν αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ἰδὼν δὲ Μύρων, ὅτι ἐπίστευσεν ἡ θυγατὴρ αὐτοῦ καὶ ὁ υἱὸς αὐτῆς τῷ κηρυττομένῳ Χριστῷ ὑπὸ Ἰωάννου, προσήνεγκεν χρήματα πολλὰ τῇ θυγατρὶ αὐτοῦ καὶ

τεκνου (!) μου αξιωθω της επιγνωσεως Χριστου P^2, εν τω οικω του πατρος μου οπως συνδοξασθη αυτω και ο εμος οικος N, οπως δια της του θεου σου χαριτος ενευλογηθη ο οικος μου και συνδοξασθη τω οικω του πατρος μου v, der von hier an mehr mit V N als mit B zusammengeht; die übrigen Hss. von B πεπεισμαι πατερ, οτι εγνωρισε σοι ο θεος σου την αιτιαν δι᾽ ην παρειμι. πλην καγω αναγγελω σοι, οτι ζηλω θεοσεβειας παρεγενομην (darauf in m^1 του φωτισθηναι υπο σου, in m^2 c οπως καγω συν τω τεκνω μου αξιωθω της επιγνωσεως του Χριστου) και συνδοξασθη ο οικος μου τω οικω του πατρος μου (m^2 των γενεων μου?) | 1. και — Ιω. V: ειπεν δε Ιω. προς αυτην N | 2. αγαθυνει V N P^3 m^2: αγαθυναι c m^1 v, ganz abweichend P^2 | επι τουτω (τουτο in V N) hier V B: vor και πεσουσα N | 3. και του ανδ. — πατρος σου V P^3 (nur μετα παντος so auch v m^2, in m^1 m^2 c fehlt του πατρος): nur και του σου ανδρος N | 4. Χρυσιππη V v: η × N, > B | επι — Χριστου και V: εις τους ποδας αυτου N | 6. και εμοι V: μοι N | 7. και ειπεν αυτη Ιω. V: ειπεν δε Ιω. προς αυτην N | 8. αγωμεν V P^3 v: εγω μεν N | συντυχωμεν V P^3 v: συντυχω μεν N | ανδρι σου N P^3 v: σω ανδρι V | 9. γνωμη N P^3 (× τη) B: κατα γνωμην V | αυτου V P^3 v: τουτου N, του ανδρος σου c m^1 m^2 | γεν. τουτο V N v: τουτο γεν. c m^1 m^2, ποιησωμεν τουτο P^3 | τω Ιω. V: αυτω N B | 11. Ιω. V: × ὁ N v | χαραν μεγ. hier V B: vor ο Ιω. N | συνεσιν V N c: συνθεσιν v, συναινεσιν m^1 m^2 | 12. η γυνη αυτου N B (nur v τουτου γυνη): > V | 13. αυτη N B: > V | 14. παρ αυτου N: αυτοις V | το vor ονομα u. die drei folgenden του V v: > N, die ganze Formel > B (ausser v) | 16. Χριστω V: θεω N | 17. και τ. υιω αυτης V: > N

τῷ υἱῷ αὐτῆς λέγων· ἰδοὺ χρήματα ὅσα ἀρκεῖ ὑμῖν, ἔχετε δὲ καὶ τὴν ἐμὴν τράπεζαν· μόνον τοῦ ἐμοῦ οἴκου μὴ χωρισθῆτε μηδὲ ἀπέλθητε πρὸς τὸν ἡγεμόνα, μήποτε καταφρόνησις γένηται ὑμῖν τὰ πρὸς τὸν Χριστόν. καὶ εἶπεν πρὸς αὐτὸν ἡ θυγατὴρ αὐτοῦ· καὶ εἰ τοῦτο βούλει, πάτερ, μενέτω τὰ χρήματα παρὰ σοί, ἐγὼ δὲ καὶ ὁ υἱός μου ἀπελευσόμεθα ἐν τῷ οἴκῳ ἡμῶν. ἔστιν δὲ παρ' ἡμῖν χρυσὸς πολὺς καὶ ἄργυρος ἱκανός, καὶ ταῦτα λαβόντες ἐπιστρέψομεν πρὸς τὸν σὸν οἶκον, καὶ ἐσόμεθα ἐπὶ τὸ αὐτό. ἀκούσας δὲ ταῦτα ὁ Ἰωάννης εἶπεν πρὸς Μύρωνα καὶ τὴν θυγατέρα αὐτοῦ· Μύρων, Μύρων, οὐκ ἀνέξομαι τὸν σὸν λόγον, ἀλλ' οὔτε τὸν λόγον τῆς θυγατρός σου· ὁ γὰρ Χριστὸς οὐκ ἀπέστειλέν με χωρίζειν γυναῖκα ἀπὸ ἀνδρός, ἀλλ' οὐδὲ ἄνδρα ἀπὸ γυναικός, καὶ μάλιστα ὅτι ἡ θυγατήρ σου κατὰ σύνεσιν τοῦ ἀνδρὸς αὐτῆς ἐπίστευσεν τῷ Χριστῷ. πορευέσθω οὖν εἰς τὸν οἶκον αὐτῆς μετ' εἰρήνης. ἐγὼ γὰρ πιστεύω τῷ ἀποστείλαντί με Χριστῷ κηρύττειν τὰ θαυμάσια αὐτοῦ, ὅτι καὶ ὁ ἀνὴρ αὐτῆς ταχέως γενήσεται Χριστιανός. τὰ δὲ χρή-

1. *ιδου χρ.* V m^1 m^2: *τεκνον* × u. *πολλα και* + N, *τεκνον ιδου χρ.* c, *ιδου τεκνον οσα βουλη χρ.* v | *εχετε* (*εχεται*) *δε και* V v: *ελετε* (!) *και* N, *μετεχετε δε και* m^1, *μετεχε και* m^2 | 2. *την εμ. τραπ.* V v (+ *και εσθιετε*): *εις την εμην τραπεζαν εσθιετε* N, *της εμης τραπεζης* c m^1 (+ *καθημεραν*) m^2 | *του εμου οικου* V hier: hinter *χωρισθητε* N, da auch *του οικου μου* B (*εκ* × c) | 3. *μηδε* V v: *και μηκετι* N P^3, *μηποτε* (*απελθοντων κτλ.*) c m^1 m^2 | *καταφρονησις — Χριστον* V P^3 v (nur *της εις Χρ. ευσεβειας*): *καταφρονησητε των εντολων του Χρ.* (soweit auch B) *ων υμιν Ιω. παρεδωκεν* N | 4. *και ειπεν — αυτον* V: *ειπεν δε η θυγατηρ Μυρωνος προς αυτον* N, ähnlich v | 5. *βουλει* V N: *βουλη* v | *τα χρ.* V v: *ταυτα* × N | 6. *απελευσ. — ημων* V: *πορευσομεθα εις τον οικον μου* N, stark abweichend v | 7. *εστιν δε παρ'* V: *εστι γαρ* v, *και εστιν παρ'* N | *χρυσος πολυς* N: *πολυς χρ.* v, *χρυσιον πολυν* (!) V | *αργυρος ικ.* V N: *ιματισμος* v | *και ταυτα* N: *ταυτα ουν* V | 8. *τον σ. οικον* V: *υμας* N, *ad te in domum tuam* L, > v | 10. *Μυρ. Μυρ.* V: > N v B L | *τον σον — θυγ. σου* V P^3 (aber *τον σον* hinter *λογον*): *των λογων των σων* (*σου* v) *ουδε των λογων της θυγατρος σου* B, *των λογων υμων* N | 12. *ουκ* V P^3 B (*ου γαρ* v) L: > N | *με* V N B L: *ημας* P^3 | *χωριζειν* hier N P^3 B: hinter *γυν.* V | *γυναικα* N P^3 v m^2: *γυναικας* V c m^1 | *ανδρος* V N P^3 v m^2: *ιδιων ανδρων* m^1, aus c giebt Tischend. *απο αν το ανδρων* (?) | *αλλ' — γυναικος* V P^3 (aber *ουτε*) wesentlich ebenso m^1 m^2 v: > N c | 13. *μαλιστα οτι* N P^3 B: *οτι μαλιστα* V | 14. *συνεσιν* V N c: *συναινεσιν* P^3 m^1 m^2, *θελησιν* v | 16. *Χριστω* hier V B (v > *Χριστω*): vor *αποστειλαντι* N | *κηρυττειν τ. θαυμασια* (*θαυματα* N) *αυτου* V N L: > B

ματα, ἃ εἴπατε, δανείσατε τῷ Χριστῷ, καθὼς λέγει ὁ Χριστὸς καὶ θεὸς ἡμῶν· „ὁ ἐλεῶν πτωχὸν δανείζει θεῷ, κατὰ δὲ τὸ δόμα αὐτοῦ ἀνταποδώσει αὐτῷ". τοῖς οὖν προσερχομένοις ἀδελφοῖς καὶ ὑστερουμένοις τροφῆς, τούτοις παρέχετε τὰ πρὸς τὴν χρείαν, ὅτι πάλιν ὁ αὐτὸς κύριος ἡμῖν διακελεύεται λέγων· „ἐφ᾽ ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε," καὶ· „ἐλεεῖτε, ἵνα ἐλεηθῆτε· δίδοτε καὶ δοθήσεται ὑμῖν, καὶ ᾧ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν". ταῦτα εἰπὼν ὁ Ἰωάννης καὶ πλείονα τούτων, ἀπέστειλεν Χρυσίππην καὶ τὸν υἱὸν αὐτῆς ἐν τῷ οἴκῳ αὐτῶν, καὶ ἡμεῖς ἐμείναμεν ἐν τῷ οἴκῳ Μύρωνος. τῇ οὖν ἐπαύριον ἤνεγκε Μύρων τῷ Ἰωάννῃ χρήματα πολλὰ καὶ εἶπεν· λαβὲ ταῦτα, διδάσκαλε, καὶ διάδος πτωχοῖς. εἶπεν δὲ Ἰωάννης πρὸς αὐτόν· ἰδοὺ ἀπεδεξάμην τὴν πρόθεσίν σου καὶ ἔγνωσα αὐτὴν κατὰ θεὸν ὑπάρχειν· τῇ σῇ γνώμῃ καταλείπω τὰ σά, ὅπως ἰδίαις χερσὶν ἐπιχορηγῇς τοῖς χρείαν ἔχουσιν. ὁ δὲ Μύρων πᾶσιν τοῖς χρείαν ἔχουσιν ἐπεχορήγει.

1. ειπατε V B: λεγετε N | δανεισατε V B: + αυτα N | λεγει — ημων V: λεγει ο αποστολος N, λεγει ο αγιος λογος v, γεγραπται c m[1] m[2] L cf. const. apost. III, 4 ο Σολομων φησιν Prov. 19, 17 | 2. δανειζει hier N B: hinter θεω V | κατα δε V v: και κατα N, den ganzen Satz > c m[1] m[2] | 3. δομα (δωμα) V v: ανταποδομα N | ανταποδωσει V N: ανταποδωσατε v | 4. τροφης V N: > B | 5. οτι — διακελευεται V: οτι ειπεν ο κυριος ημων Ιησους Χρ. N P[3] v (ähnlich c m[1] m[2]) cf zur Sache l. 1 sq. | λεγων -- εποισ. και V B (aber οτι statt λεγων c m[1], auch ohne οτι m[2]): > N P[3] v L | 7. ελεειτε (—ατε P[3]) ... ω (οιω P[3]) μετρω μετρειτε (—ητε N) αντιμετρ. υμιν N P[3]: και παλιν λεγει ελεειτε (oder ελεατε) κτλ. mit einigen Varianten B, > V | 8. ταυτα N P[3] B: × και V | ο Ιω V c m[1]: Ιω. N, > v m[2] | 9. κ. πλειονα τουτων N: κ. τουτων πλ. B, > V | απεστειλεν V B (—λε): απελυσεν την N | 10. εν τ. οικω αυτης N v (mit Zusätzen vorher): εις τον οικον αυτης c (m[1] m[2] αυτων), προς τον ηγεμονα V | και ημ. (ημεις δε N) — Μυρωνος V N: > B (auch v) | 11. ηνεγκε N B: ηγαγεν V | τω Ιω. hier N B: hinter ειπεν V | 12. διαδος V B: δος N | 13. ειπεν — ιδου N v: ειπε δε αυτω ο Ιω. ιδου m[2] c, λεγει αυτω ... ιδου m[1], και ειπεν αυτω ο Ιω. (ohne ιδου) V | προθεσιν V N P[3] m[2] v (dieser > σου): προαιρεσιν m[1] c | 14 εγνωσα V: εγνων m[1], εδοκιμασα m[2] c v, ευρον N | υπαρχειν N B: υπαρχει V, κατα θ. υπαρχειν > P[3] | τη V: × και N, + δε B | 15. τα σα B (wahrscheinlich auch P[3]) L: αυτα V, ταυτα N | επιχορηγης V N (beide schreiben —χωρ—): επιχορηγησης B, επιχορηγεις P[3] | χρειαν εχ N P[3]: χρηζουσιν B, δεομενοις V | 16. χρειαν εχ. N: χρηζουσιν V, δευμενοις c m[1] m[2], ενδεεσιν v | επεχορηγει N v: επηρκει c m[1] m[2], παρεσχεν τα προς την χρειαν V

καὶ ὁ κύριος ἐπλήθυνεν πάντα ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ ὥσπερ πηγὴ εὔρυτος ἐπεδίδου πάντα τὰ ἀγαθὰ ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ πάντες ἔχαιρον οἱ ἐν τῷ οἴκῳ αὐτοῦ σφόδρα ἐπὶ τῇ διαδόσει τῶν χρείαν ἐχόντων.

Ἦν δὲ ἕτερος ἀνὴρ ἐν τῇ πόλει ἐκείνῃ πλούσιος σφόδρα, Βασίλειος ὄνομα αὐτῷ καὶ ἦν αὐτῷ γυνὴ ὀνόματι Χάρις, καὶ αὕτη ἦν στεῖρα καὶ οὐδέποτε ἔτεκεν. οὗτος ἐλθὼν πρὸς Ῥόδωνα, ἀνέψιον Μύρωνος, ἄνδρα εὐγενῆ πάνυ, Ἕλληνα τυγχάνοντα, εἶπεν πρὸς αὐτόν· τί τὸ συμβὰν τῷ οἴκῳ Μύρωνος, τοῦ σοῦ θείου, ὅτι οὕτως ἀφησύχασεν μετὰ τοῦ ξένου τούτου σὺν παντὶ τῷ οἴκῳ αὐτοῦ καὶ οὐκέτι συγκαθέζεται ἡμῖν οὔτε δέχεται ἡμᾶς ἐν συντυχίᾳ αὐτοῦ. τί ἐστιν ἡ διδαχὴ τοῦ ἀνθρώπου τούτου, ἀπάγγειλόν μοι. καὶ εἶπεν Ῥόδων πρὸς τὸν Βασίλειον· τί μέν ἐστιν ἡ διδαχὴ αὐτοῦ, οὐ γινώσκω, πολλοὶ δὲ ἐκθειάζου

1. *κυριος* V v (× *ο δε*): *Χριστος* N (c m^1 m^2 × *ο δε*) | *παντα* V: *παντα τα* N, *τα αγαθα* c m^1 m^2, *τα υπαρχοντα αυτω* (ohne *εν τω οικω αυτου*) v | *και ωσπερ — οικω αυτου* N: *ωσπερ πηγη ευρυτος αντλουμενη επεδιδει αγαθα και πλουσια ναματα* v, *και ωσπερ πηγη ευρυτος ην δια της χαριτος του κυριου ο οικος αυτου* c, beinah ebenso m^2, ganz verderbt m^1, > V L m^3 | 3. *και παντες — εχοντων* N cf L: *παντες δε οἱ εν τ. οικω αυτου εχαιρον επι τη διαδοσει των χρ. εχοντων εν Χρ. Ιησου τω κυρ. ημων ω η δοξα εις τους αιωνας των αιωνων αμην* c, wesentlich ebenso m^1 (dieser ohne Doxologie) m^2 v (dieser aber *διαδοσει των χειρων αυτου . . .*), > V | 5 *ην δε* V N P^3 P^2 (dieser tritt hier wieder ein, nachdem er über alles von p. 71, 3 mit wenig Worten hinweggegangen ist): in B findet sich hier ein Titel *περι Βασιλειου* m^1, *και της γυναικος αυτου* + c m^2 v, die letzteren beiden × *τα* | *ετερος* V P^2: *τις* × N c m^1, nur *τις* m^2 v | *ανηρ* V N P^2 (vor *ετερος*) m^1 v: > c m^1 | 6. *ονομα αυτω* V m^2 v: *ονοματι* N P^2 c m^1 | *και ην αυτω* V: *και η τουτου* N, *εχων* (*γυναικα*) P^2 | *Χαρις* V P^2 B (v *Χαρης*) L: *Χαριτω* N | *και — στειρα* N P^2: *στειρα δε ουσα* V, *ην δε* (+ *αυτη* v) *στειρα* m^1 c, *αυτη δε ην στ.* m^2 | 7. *και ουδ. ετεκεν* N: *και ουκ ετικτεν* P^2, *μηδεποτε τικτουσα* m^1, > V m^2 c v | *Ροδωνα* P^3 V (hier *ω* über *ο* geschrieben) m^1 m^2: *Ροδονα* N c, *Ρωδωνα* v, in P^2 fehlt hier der Name ganz | 8. *Ελλ.* V m^1: *δε* + N m^1 c v | 10. *σου θ.* N: *θ. σου* V | *αφησυχ.* c m^1 m^2: *απησυχασε* V N P^3 v | *συν π. τ. οι. αυτου* N m^1 (aber *συμπαντι*) c (> *παντι*): *μετα παντος τ. οι. αυτου* P^3, *εν τ. οικω αυτου* m^2, *πανοικι* v, > V | 11. *ουκετι* N v: *ου* V, *ουτε συγκ. ημ. ετι* c m^1 m^2 | 12. *εν συντυχια* N: *επι συντ.* P^3 B (auch v), *εις συντυχιαν* V | *αυτου* V N P^3: > B | *τι* N P^2 V (+ *ουν*): *τις* B (auch v, ob auch P^3?) | 13. *και ειπεν* V: *ειπεν δε* N | *τον* V: > N c m^1 m^2 | 14. *τι* V N: *τις* B | *μεν* N B: > V | *πολλοι δε* hier V B P^2 (ohne *δε*): hinter *ανδρα* N | *εκθειαζ.* N P^3 v: *εκθαυμαζουσι* c m^1 m^2, *θαυμαζουσιν* V P^2

σιν τὸν ἄνδρα καὶ λέγουσιν λαλεῖν αὐτὸν καὶ μὴ ἀποτυγχάνειν. καὶ εἶπεν Βασίλειος· λαλησάτω καὶ ἐπὶ τῇ γυναικί μου, ὅπως γεννήσῃ παῖδα. καὶ εἶπεν Ῥόδων· ὡς λέγουσίν τινες, καὶ τοῦτο δύναται ποιῆσαι. ἀκούσας δὲ ταῦτα Βασίλειος εὐθέως ἐπορεύθη ἐν τῷ οἴκῳ Μύρωνος ἐπὶ συντυχίᾳ Ἰωάννου καὶ ἐπηρώτησεν, εἰ ὁ ἀπόστολος τοῦ Χριστοῦ ἐνταῦθα ξενίζεται, καὶ μανθάνει τὸ ἀληθές, καὶ εἶπεν ἑνὶ τῶν παίδων· ὅτι συντυχεῖν θέλω τῷ Ἰωάννῃ. ἀνελθὼν οὖν ὁ παῖς ἀνήγγειλε τῷ Μύρωνι, καὶ ὁ Μύρων ἀνήγγειλε τῷ Ἰωάννῃ· ὅτι Βασίλειος ὁ τριβοῦνός ἐστιν πρὸ τῶν θυρῶν ἐπὶ συντυχίᾳ σῇ. ἀκούσας δὲ Ἰωάννης εὐθέως ἀνέστη εἰς συνάντησιν αὐτοῦ καὶ προσεκύνησεν Βασίλειος τὸν Ἰωάννην. καὶ εἶπεν αὐτῷ ὁ ἀπόστολος· πληρώσαι κύριος πάντα τὰ αἰτήματά σου, καὶ μακάριος ἄνθρωπος, ὃς οὐκ ἐπείρασεν τὸν θεὸν ἐν τῇ καρδίᾳ αὐτοῦ. ὅμως, Βασίλειε, καὶ τοῖς Ἰσραηλίταις τότε πειράζουσιν τὸν θεὸν ὁ ἀπείραστος τῇ πείρᾳ ἐκείνων τὴν εὐθύτητα ἐδίδου, τὴν μὲν πέτραν διαρρήσσων καὶ ἐξάγων ποταμοὺς ὑδάτων ἐξ αὐτῆς, ὅπως πίωσιν οἱ ἀπειθεῖς, τὸν δὲ ἄρτον ἐκ τοῦ οὐρανοῦ ἐπιπέμπων αὐτοῖς, ὅπως φάγωσιν οἱ ἀχάριστοι ἀκοπιάστως, τὸ δὲ κρέας

1. αποτυγχ. V c m[1] m[2]: παρατυγχ. N, ganz anders v und wieder anders P[2] | 2. και ειπεν V: ειπεν δε N B | 3. γεννηση N: —σει V | παιδα N: παιδας wie es scheint V | και ειπεν V: ειπεν δε N | 4. ευθεως V v: + εξηλθεν εκ του οικου Ροδονος και N ohne anderweitige Bestätigung. B kürzt im Folgenden stark, in andrer Weise auch P[2], viel genauer entspricht obigem Text v | 5. εν τω οικω V v: εις τον οικον N | 6. Χριστου V L: εσταυρωμενου N, nicht vergleichbar v | 7. μανθανει — ειπεν N: μαθων το αλ λεγει V | οτι N: > V, dafür Μυρωνος | 8. ουν N v: δε V | ανηγγειλε N v: απηγγειλεν V | 9. και ο Μ. ανηγγ. (ειπε v) τ. Ιω. N v: κακεινος τω Ιω λεγων αυτω V | οτι N v: > V | 10. εστι προ τ. θυρων V: προ του πυλωνος εστι v, επι θυρων ελθων N | επι συντ. ση V N: συντυχειν σοι βουλομενος v | 12. και ειπεν αυ. ο απ. V: ο δε Ιω. ειπεν προς Βασιλειον N | πληρωσαι V v c m[1] m[2]: —σει N P[2] P[3] | 14. τον θεον V P[2] P[3] B L: κυριον τ. θεον v, αυτον N | 15 και V P[3] B (auch v): ει × N | τοτε V: ποτε P[3], > N B, die ganze biblische Belehrung > P[2] | 16. την μεν — απειθεις V B (nur ποταμον υδατος): πη δε πετραν . . . ποταμους υδατος οπως . . . N der diesen Satz gegen alle andern Zeugen, auch gegen L, hinter die Brotspeisung stellt; εκ μεν πετρας πηγαζων ποταμους υδατος, οπως πι οι απ. και αχαριστοι v | 18 τον δε B (auch v): πη μεν N (s. vorher), τον δοντα V (wahrscheinlich τον δε οντα) | εκ του V v c: εξ N m[1] m[2] | 19 φαγ. οι αχαρ. ακοπ. V N: φαγ. ακοπ. οι αχ. c m[1] m[2], φαγ. οι αγνωμονες ακοπ. v, οι αχαριστοι μη μεινωσιν απιστοι P[3] | το δε κρεας V m[1] m[2] (Amphil. κρεα): τα δε κρεα c, πη δε κρεας N, ορτιγομητραν δε v

πληθύνων αὐτοῖς εἰς πλησμονήν. ἀλλ᾿ οὐκ ἐπίστευσαν τῷ ταῦτα ποιήσαντι Χριστῷ οἱ ἀγνώμονες καὶ σκληροί. καὶ σύ, Βασίλειε, μὴ πείραζε θεόν, καὶ οὐ μὴ πειρασθῇς κακοῦ· πίστευε δὲ αὐτῷ καὶ πάντα τὰ αἰτήματα τῆς καρδίας σου πληρώσει. ἰδὼν οὖν Βασίλειος, ὅτι πάντα τὰ ἐν τῇ καρδίᾳ αὐτοῦ εἶπεν αὐτῷ, ἐξέστη τῇ διανοίᾳ. ὁ δὲ Ἰωάννης εἶπεν αὐτῷ· τέκνον Βασίλειε, πίστευσον τῷ Χριστῷ, καὶ πάντα τὰ αἰτήματα τῆς καρδίας σου δώσει σοι διὰ τῆς πίστεως. ὁ δὲ Βασίλεεις εἶπεν· καὶ ἐπίστευσα καὶ πιστεύω, αἰτοῦμαι δέ σε, διδάσκαλε, ὅπως παρακαλέσῃς τὸν θεόν σου καὶ τεκνώσῃ μου ἡ γυνή. καὶ εἶπεν αὐτῷ Ἰωάννης· πίστευσον καὶ ὄψῃ τὴν δόξαν τοῦ θεοῦ. καὶ πολλὰ κατηχηθεὶς ὁ Βασίλειος ὑπὸ Ἰωάννου ἐξῆλθεν ἐκ τοῦ οἴκου Μύρωνος καὶ ἐπορεύθη εἰς τὸν ἴδιον οἶκον καὶ ἀπήγγειλεν πάντα ὅσα ἤκουσεν παρὰ Ἰωάννου τῇ γυναικὶ αὐτοῦ. καὶ τῇ ἑξῆς ἔλαβεν ὁ Βασίλειος τὴν γυναῖκα αὐτοῦ Χάριν καὶ ἔρχεται ἐν τῇ οἰκίᾳ Μύρωνος πρὸς τὸν ἀπόστολον, καὶ εἰσελθόντες προσεκύνησαν αὐτῷ. καὶ εἶπεν Ἰωάννης πρὸς τὴν γυναῖκα Βασιλείου· χαίροις, Χάρις, ἡ χάρις τοῦ θεοῦ φωτισάτω

1. *πληθυνων αυτοις* m^1 m^2 c: daraus wurde *πληθη ην αυτοις* V, wozu dann weiter ein *προσταξας* nothwendig hinzutrat, *εις πληθος παρεξε* (!) N | *εις πλησμονην* V v (+ *εξαποστελλων αυτοις*): *εως εκρευσεως ρινων* m^1 m^2 c, > N, den ganzen Satz > P^3 | 2. *Χριστω* N P^3 (× *τω*) m^2: *θεω* V c m^1, > v | *και συ* V: *συ δε ω* v L, > N P^3 m^1 m^2 c | 3. *θεον* N etc.: *θεω* V | *πειρασθης* V c v: *πειραθεις* m^1 m^2, *πειρασθεις* P^2, *πειραν σχης* N, *πειραν εξεις* P^3 | *κακου* V N P^3 c m^1 m^2: *κακων* P^2, *κακως* v | 5. *αυτω* N P^2 P^3 B: + *Ιωαννης* V | 6. *τη διανοια* N P^2 P^3 B (m^1 m^2 c + *αυτου*): *τω πνευμα αυτου* V | *Ιω.* N: *αντελαβετο αυτου και* V, alles bis *και επιστευσα* l. 9 > P^2 B, bis *διδασκαλε* P^3, welcher das *και επιστευσα κτλ* hinter *του θεου* l. 11 nachbringt | 7. *της καρδιας — πιστεως* V cf L *(et omnem voluntatem tuam propter fiduciam tuam dabit tibi)*: *σου πληρωσει ο Χριστος* N | 9. *και* vor *επιστευσα* V P^2 P^3 B (v > den ganzen Satz): > N | *αιτ. δε* V c m^1 m^2: *αιτ. ουν* N, *αιτουμαι* v, *πλην δεομαι* P^2, > P^3 | *διδασκαλε* V B P^3: + *αγαθε* N, *μαθητα ευλογημενε τον ευλογημενου θεου* P^2 | 11. *αυτω* V B: *προς αυτον* P^2 (anders gestellt), > N | *πιστευσον και* V L *(dixi tibi crede et)*: *εαν πιστευσης* N P^3 P^2 (*πιστευεις*) B | *οψη* V P^3 v: *οψει* P^2 B, *οψεις* N | 12. *ο* V c v: > N P^3 m^1 m^2 | *υπο* V P^3 v: *παρα* N B | 13. *απηγγ.* V P^3: *ανηγγ.* N B | 14. *παρα* V: *υπο* N | *και τη εξης* V: *και τη επαυριον* N, *τη ουν* (*δε* P^2) *επαυριον* B P^2 | 15. *ελαβεν* V: *λαβων* N, *παραλαβων* P^2 | *Χαριν* V: *Χαριτω* N, die andern >, s. oben p. 74, 6 | *και* vor *ερχ.* V: > N | 16. *τη οικια* V: *τω οικω* N c m^1 | *τ. αποστ.* V: *Ιωαννην* N | *και εισελθ.—αυτω* V: *και προσεκυνησαν τω Ιωαννη* B, > N P^2 | 18. *χαιροις* c m^1: *χαρης* v, *χαρις* V N P^2 P^3 m^2, > L | *Χαρις*: > v

τὴν καρδίαν σου καὶ τοῦ σοῦ ἀνδρὸς καὶ δώσει σοι καρπὸν ἀγαθὸν ἀπὸ τῆς σῆς κοιλίας. καὶ διδασκαλίαν πολλὴν ποιησάμενος πρὸς αὐτοὺς ἀπὸ τῶν θείων γραφῶν, ἔπεσεν ἡ χάρις τοῦ θεοῦ ἐπ᾽ αὐτοὺς καὶ παρεκάλεσαν τὸν Ἰωάννην, ὅπως φωτίσῃ αὐτούς, καὶ ἐβάπτισεν αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. παρεκάλεσεν δὲ Βασίλειος τὸν ἀπόστολον, ὅπως ἐξέλθωμεν ἐκ τοῦ οἴκου Μύρωνος καὶ εἰσέλθωμεν ἐν τῷ οἴκῳ αὐτοῦ καὶ μείνωμεν παρ᾽ αὐτῷ. καὶ οὐκ ἔασεν ἡμᾶς Μύρων εἰ μὴ μόνον ἀπελθεῖν καὶ εὔξασθαι τὸν Ἰωάννην ἐν τῷ οἴκῳ Βασιλείου. καὶ δὴ πορευθέντες, εὐεργέτησεν Ἰωάννης τὸν οἶκον Βασιλείου, καὶ πάλιν ἤλθομεν ἐν τῷ οἴκῳ Μύρωνος. καὶ ἐν γαστρὶ ἔλαβεν ἡ γυνὴ Βασιλείου καὶ ἔτεκεν υἱὸν καὶ ἐκάλεσεν τὸ ὄνομα αὐτοῦ Ἰωάννης. πρὸ τοῦ δὲ γεννηθῆναι τὸ παιδίον προσήνεγκαν Βασίλειος καὶ ἡ γυνὴ αὐτοῦ τῷ Ἰωάννῃ χρήματα πολλὰ εἰς διάδοσιν τῶν χρείαν ἐχόντων. εἶπεν δὲ αὐτῷ ὁ μαθητὴς τοῦ Χριστοῦ· ἄπελθε, τέκνον, τὰ σὰ σὺ διάδος, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανοῖς.

Πληρωθέντων δὲ δύο ἐνιαυτῶν γίνεται διαδοχὴ τοῦ ἡγεμόνος, τοῦ ἀνδρὸς Χρυσίππης, τῆς θυγατρὸς Μύρωνος, καὶ εἰσελθὼν ἐν τῷ οἴκῳ Μύρωνος, τοῦ πενθεροῦ αὐτοῦ, εἶπεν πρὸς

1. *καρδ. σου* V P² P³ B: *σην καρδιαν* N | *σοι* V P² B: *κυριος* + N P³ | 2. *σης κοιλ.* N P³ m²: *κοιλ. σου* V v, (*εκ*) *κοιλιας* c m¹, *κοιλιας* (*καρπον αγ.*) P² | *διδασκ. — προς αυτους* V: Stellung ebenso c v, aber *ικανην* beide u. *εις αυτους* v; *ποιησ. πρ. αυτους διδ. ικανην* N, *ποιησ. διδ. ικ. πρ. αυτ.* m², *διδαξας αυτους ικανως* m¹ | 3. *επεσεν* V v: *επεπεσεν* N c, *ηλθεν* m¹ | 4. *αυτους* V B: *αυτοις* N | 5. *το* u. dreimal *του* V P²: > N | 7. *τον αποστ.* V: *Ιωαννην* N | *εξελθ. — και* N: > V L, nicht zu vergl. sind P² B | 8. *και μειν. π. αυ.* V L: > N | 9. *ημας* N cf L (*ut abiremus*): > V | *ευξασθαι τ. Ι. εν τω* N: *ευξασθω τω* V, *Joannes domum Basilii benedixisset* L | 10. *και δη — Βασιλειου* N (mit Druckfehler *ευεργεσεν*): > V, die andern sind kaum vergleichbar z. B. v *απελθων ουν και επευξαμενος και ευλογησας αυτους τε και τον οικον αυτων υπεστρεψαμεν εν τω οικω Μυρωνος* | 11. *ηλθομεν εν τ. οικω* V (geschrieben *ηλθωμεν*): *υπεστρεψωμεν* (sic) N, *υπεστρεψεν* c m¹, *υπεστρεψαμεν* m² v | 12. *ελαβεν . . . και* N m² (*ελ. δε . . και*) v (*συνελαβε δε . . . και*): *λαβουσα* V (+ *δε* c m¹), *συλλαβουσα* P² | 14. *δε* hier V: nach *γεννηθ.* N P³ | *το παιδιον* V: *τον παιδα* N P³ | *προσηνεγκαν — αυτου* V L: *προσηνεγκεν Βασ.* N P³, *προσηγαγε δε τω αποστολω ο Βασ.* B (v > *ο Βασ.*) | 15. *διαδοσιν* N P³ B L (*ut distribueret*): *διακονιαν* V | 16. *αυτω — Χριστου* V: *Ιωαννης* N v, *αυτω* (*ο*) *Ιω.* B | 17. *διαδος* N P³ B (auch v): *δος* V | 20. *εισελθων* V: *προσελθων* N, *veniens* L, den Satz > P³, die andern sind nicht vergleichbar

Ἰωάννην· διδάσκαλε, ἡ σύγχυσις τῶν πραγμάτων περιπνίξασά μου τὸν νοῦν καὶ τὸν λογισμὸν ἐστέρησέν με τῆς σῆς ὠφελείας. ὅμως παρακαλῶ τὴν σὴν ὁσίαν ψυχήν, ὅπως καὶ ἐμὲ φωτίσῃς καὶ καθαρίσῃς ἀπὸ τῶν προγεγονότων μοι παραπτωμάτων. ὑπολαβὼν δὲ Ἰωάννης ἀπὸ τῶν θείων γραφῶν ἐδίδαξεν αὐτόν, καὶ μετὰ τὸ κατηχῆσαι αὐτὸν καὶ ὁμολογῆσαι πιστεύειν εἰς τὸν ἐσταυρωμένον ἐβάπτισεν αὐτὸν εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, καὶ ἐπορεύθη μετ᾽ εἰρήνης ἐν τῷ οἴκῳ αὐτοῦ.

Ἦν δέ τις ἀνὴρ ἐν Φορᾷ τῇ πόλει ὀνόματι Χρῦσος, καὶ ὄνομα τῇ γυναικὶ αὐτοῦ Σελήνη· ἦν δὲ αὐτοῖς υἱὸς μονογενής, ὑπὸ πνεύματος ἀκαθάρτου ἐνοχλούμενος. ἦν δὲ ὁ Χρῦσος πολιτάρχης. ἀκούσας οὖν ὅτι Ἰωάννης θαυμάσια μεγάλα ποιεῖ ἐν τῇ δυνάμει τοῦ ἐσταυρωμένου, παραλαμβάνει τὸν υἱὸν αὐτοῦ καὶ ἔρχεται ἐν τῇ οἰκίᾳ Μύρωνος. ὁ οὖν Ἰωάννης, ὡς εἶδεν αὐτὸν, εἶπεν πρὸς αὐτόν· Χρῦσε, αἱ ἁμαρτίαι σου θανατοῦσιν τὸν υἱόν σου· μίσησον τοῦ λαβεῖν δῶρα, καὶ ἕξεις ἔπαινον ἀπὸ θεοῦ, καὶ μὴ λάβῃς πρόσωπον κατὰ τῆς ψυχῆς σου, καὶ ἔσῃ

1. εστη εν τοπω τινι N P^3: εν τω τοπω εσταθη V, εστη εξω B | 2. κατα — Κυνωπος N P^3 c m^1: ως εκελευσθη παρα Κυνωπος V, > m^2 v | ο — πνευματι V: γνους δε Ιω τω αγιω πνευματι N, και γνους ο Ιω. c m^1 (P^3?), κ. γνους ο θεολογος m^2 v | 2. τω δαιμ. V: τω εισελθοντι πνευματι N, αυτω B | 3. Χριστιανων V B: Χριστιανου N | ακαθαρτε δαιμον V P^3 v (wohl auch m^2 m^3, welche nach Amphil. ακαθαρτε haben. Alle schreiben δαιμων): δαιμων ακαθαρτε N, ακαθαρτον πνευμα P^2 c m^1 | 4. δυο των αρχ. N P^3 m^2 v P^2 (+ ημων): δυο αρχοντας c m^1, δυο των δαιμονων και αρχοντων V | 5. θανατωσουσιν V N P^3: θανατωσωσι c m^1, nicht vergleichbar die andern | 6. προσκ. — παλιν V: και παλιν προσκ. δυο N, κ. προσκ. παλιν δυο c m^1 | 7. απελθατε V P^3 m^1: απελθετε c | εις: μεν × nur N | εισελθετω — λαλουμενα N P^3 (λεγομενα) c m^1 (beide + και γινομενα): στηκετω εξω και ο ετ. εσω και τα ακουομενα και λαλουμενα θεωρει V | 8. κ. ειπεν V: ειπεν δε N etc. | 9. δαιμονι V: πνευματι N etc. | παραγγελω V | τ. εσταυρ. V N P^3 L: × Ιησου Χριστου m^2 v, nur letzteres c m^1 | 10. υποστρεψαι: nur N υποστρεψης | εξελθειν V c m^1 v: ελθειν m^2, εξελθε N P^3 | εκ V B: απο P^2 m^3, > N | 11. θεωρησας V: ιδων N P^3 c m^1 m^3, ακουσας m^2 v (letzterer + δε ταυτα, beide kürzen weiterhin | 12. πικροτατην N P^3 c m^1 m^3: > V L | εταιρος: ετερος V | 13. απηγγ. — Κυνωπι V (c m^1 > παντα, m^3 stellt es hinter Κυν): προς Κυνωπα απηγγ. αυτω παντα N P^3, noch anders m^2 v | 14. αλλον δαιμ. V P^3: δαιμ. αλλον N, ετερον (εταιρον m^1) δαιμονα B | 16. δη V c m^1: > N P^3 m^2 m^3 v | εταιρους: ετερους V | υμων V N B L m^3: ημων P^2 P^3 | 17. απαντες V: παντες N P^3 c m^1, den Satz > v m^2 | υπ': nur V δια | ημιν: > nur N

μέγας ἐπίκειται· δεῦτε οὖν εἰσέλθωμεν ἐν τῇ πόλει, καὶ ἔσεσθε ὑμεῖς ἐν τόπῳ ἡσυχάζοντες καὶ ποιοῦντες ἐμοὶ τὰ πρὸς ὑπηρεσίαν, ἐγὼ δὲ εἰσελθὼν κατασκευάσω αὐτὸν καὶ ποιήσω αὐτὸν κακῶς ὀλεσθῆναι. λαβὼν οὖν ὁ Κύνωψ τὰ πλήθη τῶν δαιμόνων εἰσῆλθεν ἐν τῇ πόλει, καὶ ἔξω τῆς πόλεως ἐποίησεν αὐτοὺς προσμεῖναι. καὶ λαβὼν τρεῖς δαίμονας μεθ' ἑαυτοῦ, τοὺς τὰς ἀποκρίσεις αὐτῷ ποιοῦντας καὶ εἰσερχομένους καὶ ἐξερχομένους πρὸς τοὺς ἄλλους δαίμονας, εἰσῆλθεν δὲ εἰς τὴν πόλιν, καὶ ἤχησεν πᾶσα ἡ πόλις δι' αὐτόν, ὅτι οὐδέποτε εἰσῆλθεν ἐν αὐτῇ, καὶ συνήχθησαν ἅπαντες πρὸς Κύνωπα καὶ προσεκύνησαν αὐτόν, αὐτὸς δὲ ἑκάστῳ ἀπεκρίνατο κατὰ τὴν ἐπερώτησιν αὐτοῦ. ὁ δὲ Ἰωάννης εἶπεν πρός με· τέκνον Πρόχορε, γενναίως φέρε καὶ μὴ ὀλιγώρει· ὁ γὰρ Κύνωψ εἰς πολλὴν θλῖψιν ἔχει ἡμᾶς ἐμβαλεῖν. συνήχθησαν δὲ πάντες οἱ ἀδελφοὶ ἐν τῷ οἴκῳ Μύρωνος, καὶ ἤμεθα ἐκεῖ διδασκόμενοι ὑπὸ Ἰωάννου, καὶ ἐποιήσαμεν ἐν τῷ οἴκῳ, μὴ προερχόμενοι ἡμέρας δέκα, διότι παρεκάλεσαν πάντες τὸν Ἰωάννην λέγοντες· ὅτι σύγχυσις

1. *εισελθωμεν* V: × *απαντες* c m^1, *απελθωμεν παντες* N P^3 (m^3 dasselbe Verb), *απελθωμεν εις την πολιν απαντες* v (m^2?) | 2. *ησυχαζοντες* V N P^3: *ησυχαζοντι* c m^1, *ησυχω* m^3, abkürzend m^2 v | *εμοι* V c m^1: *μοι* N P^3 v | *τα προς* P^3 B: *προς* V, *την* N | 3. *εγω δε* V c m^1: *καγω* N P^3, den Satz > m^2 v | *αυτον* V P^3: *αυτω* N, > c m^1 | *και ποι. αυτον* N P^3 c m^1: > V | 5. *εποιησεν αυ.* hier V P^3: vor *εξω* N c, *ποιησας δε εξω τ. π. ειναι τ. δαιμ.* m^2 v, *και τους μεν δαιμ. εποιησε ε. τ. π. προσπαραμ.* m^1 | 6. *προσμειναι* V: *παραμενειν* N, *προσπαραμενειν* P^3 c m^1, *είναι* m^2 v | *και λαβων* V: *λαβων* N P^3, *παραλαβων* B (c + *δε*, m^1 *μονον δε τρεις εξ αυτων παραλ.*) | *τρεις δ. μ. εαυ.* V: *τρεις μ. εαυ.* N P^3, *τρ. εξ αυτων* B | 7. *αυτω* V c m^1: *αυτου* N P^3, *προς αυτον* v, *προς αυτους* m^2 | *κ. εξερχ.* V N: > P^3, ganz abweichend B | 8. *δαιμονας — και* V: *εισελθων ουν ο Κυνωψεν εν τη πολει* N P^3 | 9. *πασα* V N cf B (*συνηχθη δε πασα η π.* oder *πασα δε η π. συνηχθη*) P^2 (*εσεισθη πασα η π. και ηχισεν ο λαος κτλ.*) L: > P^3 | *ουδεποτε* V: *ουδεπω* N P^3, *ουκ ην ποτε* B | *εισηλθεν εν αυ.* V: *ην εισεληλυθως* (*εισεληλυθεν* P^3) *εν τη πολει* N P^3 | 10. *απαντες* V P^3: *παντες* N | *Κυνώπα* V: *αυτον* N P^3 | 11. *αυτος δε* V: *και* N P^3 | 12. *επερωτησιν* V v: *ερωτησιν* P^3 c m^1 (m^2?), *αποκρισιν* N, zur Sache cf Hermae Past. mand. 11, 2 | *τεκν. Π* hier V P^2 B: hinter *φερε* N P^3 | 13. *ολιγωρει*: *ολιγορει* V N | 14. *εχει ημ. εμβ.* V N (dieser allein + *αλλα θαρσει· η γαρ ολεσις αυτου και πτωσις ταχεως γινεται*) P^3: *αγωνιζεται εμβαλλειν ημας* c, ähnlich m^1, *ημας εμβαλειν μελλει* v, *ημας εμβαλλη* P^2 | 15. *ημεθα . . . . εποιησαμεν*: *ησαν . . . εποιησαν* nur V, mehreres > m^2 v | 16. *εν — δεκα* V: *δεκα ημερας εν τω οι. Μυρωνος, μη προερχ. εξω* N, ähnlich die andern | 17. *παντες* V: *οι αδελφοι* + N etc.

μεγάλη ἐστὶν ἐν τῇ πόλει, καὶ μὴ προέλθωμεν, ἵνα μὴ ἐπιβουλευθῶμεν ἅπαντες ἡμεῖς. ὁ δὲ Ἰωάννης, ὁ ἀπόστολος τοῦ Χριστοῦ, παρῄνει πᾶσιν λέγων· μακροθυμήσατε, ἀδελφοί μου, καὶ ὄψεσθε τὴν δύναμιν τοῦ Χριστοῦ, τοῦ υἱοῦ τοῦ θεοῦ· ὃν τρόπον γὰρ ἡ πόλις ὅλη συνήχθη καὶ ἀκούει τῶν λόγων τοῦ Κύνωπος καὶ θαυμάζει ἐπ᾽ αὐτῷ, οὕτως συναχθήσονται καὶ θαυμάσουσιν ἐπὶ τῇ ἀπωλείᾳ αὐτοῦ.

Μετὰ δὲ τὰς δέκα ἡμέρας εἶπεν Ἰωάννης πρός με· ἀνάστα, τέκνον Πρόχορε, προέλθωμεν ἐν τῷ τόπῳ τῷ καλουμένῳ Βότρυι. καὶ καθίσαντες ἐκεῖ, συνήχθησαν ὄχλοι πολλοὶ καὶ ἐδιδάσκοντο ὑπὸ Ἰωάννου. ἀκούσας δὲ ὁ Κύνωψ ὅτι διδάσκει Ἰωάννης, εὐθέως παρεγένετο πρὸς αὐτὸν καὶ ἰδών, ὅτι πάντες ἐπείθοντο τοῖς λαλουμένοις καὶ γινομένοις ὑπὸ Ἰωάννου, ἐπλήσθη θυμοῦ πολλοῦ καὶ εἶπεν πρὸς ἅπαντα τὸν ὄχλον· ἄνδρες τυφλοὶ καὶ πεπλανημένοι τὴν ὁδὸν τῆς ἀληθείας, ἀκούσατε· εἰ δίκαιός ἐστιν ὁ Ἰωάννης καὶ δίκαια τὰ λαλούμενα καὶ γινόμενα ὑπ᾽

1. *εστιν* hier V c m^1: vor *μεγαλη* N P^3 v | *κ. μη προελθ.* V c m^1 m^3 (> *και* m^2, > *και μη* v): *και μηποτε εξελθομεν προς αυτους* P^2, > N P^3 | *ινα μη* V: *μηποτε* N P^3 B, *και* P^2 | 2. *απ. ημ* V N P^3: > P^2 (*επιβουλευθωσιν*) B | *ο απ. τ. Χρ.* nur V | 3. *αδελφοι μου* V: *αδελφοι* N P^3 B, *τεκνα* m^3, *τεκνια μου* P^2 | 4. *την — θεου* V: *την δοξαν τ. θεου* (aus Joh. 11, 40) N P^2 P^3 B, *virtutem et gloriam dei* L | 5. *ολη* V: *πασα* vor *η πολις* P^2 B, > N P^3 | *ακουει — Κυν.* V P^3 cf L trotz seiner starken Abweichung: > N P^2 B | 6. *κ. θαυμ. επ᾽ αυτω* N P^3 (*θαυμαζουσιν*): *κ. θαυμαζει* (*—αζουσιν* m^2) *επι τοις λογοις του Κυνωπος* P^2 B, > V | *συναχθησ. και* N P^2 P^3 B: *παλιν* V | 8. *δε* N P^3 L: *ουν* V, die andern unvergleichbar | *αναστα — Βοτρυι* V cf L (*surge, fili Prochore eamus in locum urbis, cui nomen* . . fehlt der Name): *αναστα και εξελθωμεν εν τη πολει, τεκνον Πρ., και εξελθοντες ηλθομεν εν τοπω καλ. Βρυει* N P^3, so auch c m^1 nur ohne *και* nach *αναστα* u. *Βοτρυι* statt *Βρυει*, letztere Form nur noch m^3; ohne Rede des Johannes *και ευθεως παραλαβων με εξηλθομεν εις τοπον καλ. θαλασσα Βοτρυι* P^2, ähnlich m^2 v | 10. *κ. καθισ.* N P^3: (*και* × c m^1) *καθισαντων* (*ουν* + V, *δε* + v) *ημων* V B, ganz anders P^2. Nach dem Stil des Prochorus bedeutet obiger Text dasselbe wie die naheliegenden Correcturen | 12. *ευθεως παρεγ.* V B: *παραγινεται* N P^3 m^3 (ob auch dieser ohne *ευθεως*?) | *επειθ. — γινομενοις* V P^3 (> *κ. γιν.*) c u. m^1 (*πειθονται*): nur *εδιδασκοντο* N, *επειθοντο τοις λαλ. υπ᾽ αυτου* m^3, mehreres > m^2 v | 13. *επλησθη* (*εξεπλ.* N) *θυμου πολλου* (*πολλου θ.* V) V N P^3 c m^1: > m^2, *ευθεως παρεγινετο προς αυτον και οχλος πολυς μετ᾽ αυτου κτλ.* v | 14. *απαντα* V c m^1: *παντα* N P^3, mit anderem > m^2 v | 16. *ο*: > V | *και γιν.* V c m^1: > N P^3 | *υπ᾽ αυτου* V: *παρ᾽ αυτου* N, > die andern

αὐτοῦ, θεραπεύσει ὑμᾶς καὶ ἐμὲ διὰ τὸν λόγον, ὃν λέγω ἐγὼ πρὸς αὐτόν, καὶ πιστεύσω κἀγὼ τοῖς λεγομένοις καὶ γινομένοις παρ' αὐτοῦ. καὶ περιειστήκεισαν ὄχλοι πολλοί, καὶ ἐπιλαβόμενος ὁ Κύνωψ ἑνὸς νεανίσκου εἶπεν πρὸς αὐτόν· ζῇ ὁ πατήρ σου, ἢ ἐτελεύτησεν; ὁ δὲ εἶπεν· τέθνηκεν. ὁ δὲ Κύνωψ εἶπεν· ποίῳ θανάτῳ; ὁ δὲ εἶπεν· ναυτικὸς ὑπάρχων, συνετρίβη τὸ πλοῖον ἐν τῇ θαλάσσῃ, καὶ ἐπνίγη ὑπὸ τῶν κυμάτων καὶ ἀπέθανεν. ὁ δὲ Κύνωψ εἶπεν πρὸς Ἰωάννην· ἰδοὺ δεῖξον, εἰ ἀληθῆ διδάσκεις, καὶ ἀνάγαγε τὸν πατέρα τοῦ νεανίσκου ἀπὸ τῆς θαλάσσης καὶ παράστησον αὐτὸν τῷ παιδὶ ζῶντα καὶ πᾶσιν ἡμῖν. καὶ εἶπεν Ἰωάννης· οὐκ ἀπέστειλέν με Χριστὸς νεκροὺς ἐγείρειν, ἀλλὰ ἀπέστειλέν με ἀνθρώπους πεπλανημένους διδάσκειν. εἶπεν δὲ Κύνωψ πρὸς ἅπαντα τὸν ὄχλον τὸν περιεστῶτα· κἂν ἄρτι πιστεύετε ἄνδρες, οἱ τὴν Φορὰν πόλιν οἰκοῦντες, ὅτι μάγος ἐστὶν καὶ πλανᾷ ὑμᾶς διὰ μαγικῶν ἐμπαιγμάτων. καὶ εἶπεν πρὸς

1. *και εμε* V c m^1: *καμε* N P^3 | *τον λ. ον* V P^3: *των λογων ων* N c m^1 | *λεγω εγω* V: *εγω λ.* N P^3 c m^1 | 2. *λεγομ.* V m^3: *λαλουμ.* N P^3 c m^1 | *κ. γινομ.* V P^3 c m^1: > N m^3 | 3. *παρ'* V: *υπ'* die andern | *και περιειστηκεισαν* (m^3, *περιεστηκασιν* P^3, *παρεστηκησαν* N, *περιισταντο δε* c m^1) *οχλ. πολλοι* N P^3 c m^1 m^3: > V | 4. *ενος νεανισκου* N P^3: *ν. ενος* m^1, *ν. τινος* c v, *νεανισκον τινα* V, *νεανισκον* m^2 (?) | *πρ. αυτον* V: *αυτω* N P^3 etc., nur N + *ειπε νεανισκε*, ganz im Stil des Proch. | 5. *η ετελ.* N P^3 B: > V P^2 | 6. *ο δε — θαλασση* l. 7 N wesentlich ebenso c m^1 (P^3?): *ο δε ειπεν αυτω οτι ναυτικος υπηρχεν και συνεβη το πλ. εν τη θαλ. συντριβηναι* V, *ναυτικος υπαρχων εν θαλασση απεθανεν παθοντος του πλοιου* und dann sofort *ειπεν ουν ο Κυν.* l. 8 v, nach Amphil. m^2 ebenso aber ohne die Auslassung vorher; noch kürzer P^2 | 7. *κυματων* V P^3 c m^1: *υδατων* N | *και απεθ.* V c m^1: > N P^3 | 9. *νεανισκου* V: *παιδος* N etc. | *απο* V P^3 m^1 m^2 v: *υπο* c, *εκ* N | 10. *ζωντα* hier V: hinter *ημιν* N (> *πασιν*) P^3 c m^1, > *τω παιδι* u. *και π. ημιν* m^2 v | 11. *αλλα*: *αλλ'* N | 12. *διδασκειν* V P^3 c m^1: + *και επιστρεφειν* N, *και προς την αληθη θεογνωσιαν επιστρεφειν* m^1, ganz anders m^2 v | 13. *απαντα* V: *παντα* c m^1, > N P^3 m^2 m^3 v | *περιεστωτα* V c m^1 m^3: *παρεστ.* N P^3, > m^2 v | *πιστευετε* V P^3 B: *πιστευσατε* N m^3, vieles > P^2 | 14. *ανδρες* V c L: *οι την οδον της αληθειας μη επισταμενοι* N P^3 (m^3 *και τ. οδ. αλ. μη επ.* hinter *οικουντες*), nach *πιστευετε* sofort *οτι πλανος εστιν* m^2 v | *Φοραν* schreibe ich auch hier (s. oben p 57, l. 9), obwohl Tischendorf hier wieder in V *φροραν* glaubte lesen zu sollen: *Φθοραν* N m^3, *Φλοραν* c m^1, die andern sind nicht zu vergl. | *οικουντες* V c m^1: *κατοικ.* N P^3 | *μαγος* V N P^3: *πλανος* B, alle ausser V + *Ιωαννης* oder *ο Ιω.* nach *εστιν* | 15. *υμας*: nur V *ημας* | *μαγικων εμπαιγματων* N P^3 c m^1: *μαγικης κακοτεχνιας* V, *magicam* L, die andern nicht vergleichbar | *κ. ειπεν πρ. αυτους* V: *κ. ειπεν* N P^3, > B m^3 L

αὐτούς· κρατήσατε αὐτόν, ἕως οὗ ἀναγάγω τὸν πατέρα τοῦ παιδὸς ζῶντα καὶ παραστήσω αὐτόν. καὶ ἐκράτησαν τὸν Ἰωάννην, καὶ ἠγγίσαμεν μετὰ Κύνωπος παρὰ τὸν αἰγιαλὸν τῆς θαλάσσης, καὶ διαπετάσας Κύνωψ τὰς χεῖρας αὐτοῦ καὶ διακρούσας αὐτάς, κτύπος ἐγένετο μέγας, καὶ πάντες ἐφοβήθησαν, καὶ ἐξ ὀφθαλμῶν πάντων ἐγένετο. καὶ ἐπῆραν ἅπαντες τὴν φωνὴν αὐτῶν καὶ ἔκραξαν λέγοντες· μέγας εἶ Κύνωψ, καὶ οὐκ ἔστιν ἕτερος πλὴν σοῦ. καὶ ἐξαίφνης ἀνέβη ἀπὸ τῆς θαλάσσης, ἔχων τὸν πατέρα τοῦ παιδός, καὶ ἐξέστησαν ἅπαντες, καὶ εἶπεν Κύνωψ τῷ νεανίᾳ· οὗτός ἐστιν ὁ πατήρ σου; καὶ εἶπεν· ναί, κύριε. καὶ προσεκύνησαν ἅπαντες τῷ Κύνωπι, καὶ ἐζήτησαν πάντες τὸν Ἰωάννην ἀποκτεῖναι. καὶ οὐκ εἴασεν ὁ Κύνωψ λέγων· ὅταν ὄψεται μείζονα τούτων, τότε τιμωρηθήσεται κακῶς. καὶ προσκαλεσάμενος ὁ Κύνωψ ἄλλον ἄνθρωπον εἶπεν αὐτῷ· ἔχεις υἱόν; εἶπεν δὲ αὐτῷ ὁ ἀνήρ· ναί, κύριε, ἕνα εἶχον, καὶ κατὰ φθόνον τις ἀπέκτεινεν αὐτόν. καὶ εἶπεν Κύνωψ· ἐγερ-

1. *ου αναγ.* V v m^2 (obwohl Amphil. *ουν* angiebt): *εγω αναγ.* P^3 c m^1, *εγω* u. dann *ανεγειρω* hinter *παιδος* N | 2. *παιδος*: + *απο της θαλασσης* c v | *ζωντα* hier V: hinter *παραστ.* oder *αυτον* die andern | *αυτον* V P^2 B: > N m^3 | 3. *παρα* V P^3 B: *εις* N | 4. *αυτου* V P^3 c: *εαυτου* vor *χειρας* m^1, > P^2 m^2 m^3 v | 5. *κτυπος εγενετο* N P^3 c m^1: *κτυπον εποιησεν* V m^2 (*μεγαν* vor *επ.*) v (*τε* nach *κτ.*), *εποι. κτυπον* P^2 | *μεγας* N c m^1: *μεγαν* P^2 m^2 v (*μεγα*), > V P^3 | 6. *παντων* V N P^3: *ημων* vor oder nachher B, nur *ημων* P^2 | *εγενετο* V v: *αφαντος* × N P^3, *αφανης* c m^1, *αφαντως* m^2 | *την φ.* N P^3 c m^2 v: *τας φωνας* m^1, *φωνην* V | 7. *αυτων*: > V m^3 | *και εκραξαν* N P^1: *κ. εκραζον* c m^1, *οι οχλοι εκραζαν* m^3, > V m^2 v | *Κυν.* V B: *ο Κυν.* N P^3 | 8. *ετερος* V: *αλλος* m^1, *τις* v, > N P^3 c m^2 m^3 | *εξαιφνης* V P^3 v m^2 (dieser nach *ανεβη*): *ευθεως* N, *μετα βραχυ* m^3, > c m^1 | 9 *τ. πατ. τ. παιδος* V (nur dieser + *ζωντα*) N: *ως ελεγε* × P^3, *ως εφαντασε* × m^3, *μεθ' εαυτου δαιμονα εν σχηματι του* (*τεθνηκοτος* + m^1) *πατρος* (*αυτου* + v) *του νεανισκου* B cf L | 10. *νεανια* V: *παιδι* N P^3 B | 11. *απαντες* N P^3 m^3 (c m^1 × *πεσοντες*): *παντες* V, *οι οχλοι* m^2 v (beide × *πεσοντες*) | *τω Κυν.* V̇ B (*αυτω* nur m^2): *τον Κυνωπα* N P^3 m^3 | 12. *ειασεν*: *εασεν* nur N | 13 *οταν* V B: *οτε* m^3, > N P^3 cf L | *οψεται* N P^3 c m^1: *οψεσθαι* V, *videbitis* L, *ιδη* m^2 v, *μειζονα τουτων ποισω* m^3 | *τοτε* V B m^3: *και* × N P^3 L | 14. *και* V: *δε* nach *προσκαλ* B, *γουν* m^3, *παλιν* N | *ειπεν* V P^3 B: *λεγει* N | *αυτω* N P^3 B: *προς αυτον* V | 15. *εχεις* V B m^3 L: *εσχες* N P^3 | *ειπεν — ανηρ* V: *ο δε ειπεν* N, *ο δε λεγει* (*αυτω* + v) N v, andere anders | *ναι κυριε* N c v: *κυριε* P^3 m^1, *ναι* m^3, > V | *ενα ειχον* V N: *ειχον ενα υιον* c m^1 (dieser *κυριε* hinter *ειχον*), *ειχον μονον ενα* m^3, *ενα υιον εσχον* P^3, > v (m^2?) | 16. *ειπεν*: *αυτω* + nur V

θήσεται ὁ υἱός σου. καὶ φωνὴν ἀπεδίδου ὁ Κύνωψ καὶ προσεκαλεῖτο ἐξ ὀνόματος τὸν ἀποκτείναντα καὶ τὸν ἀποκτανθέντα, καὶ ἐξαίφνης παρέστησαν οἱ δύο ὁμοῦ. καὶ εἶπεν ὁ Κύνωψ πρὸς τὸν ἄνθρωπον· οὗτός ἐστιν ὁ υἱός σου; καὶ οὗτός ἐστιν ὁ ἀποκτείνας αὐτόν; καὶ εἶπεν ὁ ἄνθρωπος· ναί, κύριε. καὶ εἶπεν ὁ Κύνωψ πρὸς Ἰωάννην· τί θαυμάζεις, Ἰωάννη; καὶ εἶπεν Ἰωάννης· ἐγὼ ἐπὶ τούτοις οὐ θαυμάζω. καὶ εἶπεν ὁ Κύνωψ· εἰ ἐπὶ τούτοις οὐ θαυμάζεις, μείζονα τούτων ὄψει καὶ τότε θαυμάσεις· ἐὰν γὰρ μὴ ἡττήσω σε διὰ τῶν σημείων, οὐκ ἐῶ σε ἀποθανεῖν. εἶπεν δὲ Ἰωάννης· τὰ σημεῖά σου μετὰ σοῦ λυθήσονται ταχύ. ἀκούσαντες δὲ οἱ ὄχλοι τὸν λόγον τοῦτον παρὰ Ἰωάννου, εἶπον αὐτῷ· τί βλασφημεῖς, ἐξόριστε, εἰς τὸν καθαρώτατον Κύνωπα; καὶ εὐθέως ὥσπερ θῆρες ἄγριοι ἐπῆλθον αὐτῷ καὶ τὰς χεῖρας αὐτῶν ἐπέβαλον εἰς αὐτόν, καὶ διασπαράξαντες αὐτὸν ἐπὶ τὴν γῆν καὶ ἐπιπεσόντες αὐτῷ κατεμασίσαντο

1. *και* (*κατα* + V) *φωνην απεδιδου* (*αποδιδωσιν* P^3) *ο Κυν. και προσεκαλειτο εξ ονοματος* (*προσκαλουμενος* P^3) V P^3: *φωνην ουν ευθεως προηκατο προςκαλουμενος* m^3, *και προσκαλουμενος* N, *και φωνη μεγαλη προσεκαλειτο* m^2, *και ηρξατο φωνη μεγ. προσκαλεισθαι* c m^1, > v | 2. *αποκτειν.* V N P^3: *τε* × B | *και εξ.* V P^3 m^3: *και ευθεως* c m^1, *εξαιφν.* N, *και* m^2 v | 3. *παρεστησαν οι* V N P^3: *παρεστ. αυτω* B. *εφανησαν παρασταντες* m^3 | *δυο ομου* V: *δυο* N P^3, *αμφοτεροι* m^1, *δυο δαιμονες εν μορφαις* (*σχηματι* m^1) *των δυο ανθρωπων και εθαυμασαν παντες* (oder *παντες εθ.* oder *π. πλειον εθ.*, c m^1 + *ιδοντες αυτους*) B | *προς τ. ανθρ.* N P^3 c m^1 m^3: > V, alles zwischen diesem *Κυν.* u. dem in l. 6 > m^2 v | 4. *σου*: *μου* nur V | *εστιν* vor *ο αποκτ* V: > N P^3 etc. | 5. *και ειπεν* N P^3 c: *ειπεν δε* V, *και φησιν* m^1, *ο δε ειπεν* (ohne *ανθρ.*) m^3 | *ο*: > nur N | 6. *Ιωαννην*: *τον* × nur P^3 | *Ιωαννη* V B: > N P^3 m^3 | 7. *Ιωαννης* N P^3: *ο* × c m^3 (dieser ohne *ειπεν*), *ο αποστολος* V, die andern anders | *επι τουτοις*: nur V hinter *θαυμαζω* | *ο* vor *Κυν.* > nur N | 8. *οψει* V (mit drüber geschriebenem *η*) N P^3 c m^1: *οψη* m^2 v | *και τ. θαυμ.* N P^3 B m^3: > V L | 9. *ηττησω σε* V m^2 v L *(te . . vicero)*: *εκστησω σε* N P^3, *εκτησω σε* m^1, *εκστησωσι* c | 10. *εω σε* V N P^3 c v L: *ἔσωσε* Amphil. jedenfalls auf eigene Gefahr, P^2 ist in diesem ganzen Zusammenhang wenig zu vergl. | *ειπεν δε* V m^2 v: *και ειπεν* N, *λεγει αυτω* c m^1 etc | *μετα — ταχυ* V P^3: *συν σοι καταλυθησ.* (*λυθησ.* m^2 v) *και απολουνται ταχυ* B, beinah so P^2, *συν σοι ταχειον λυθησονται δια Χριστου* N | 12. *ειπον*: *ειπεν* N | 14. *αυτω* N P^3 m^3: *τω Ιωαννη* B, > V | *και τας — αυτον* V: > die andern | 15. *και* (> V) *επιπεσ. αυτω* (*—ον* V) N P^3 V: *ετυπτον ανηλεως· αλλοι δε επιπεσοντες* B P^2 | *κατεμασισαντο* V P^3 (*—σεισαντο*): *διεμασισαντο* m^3, *κατεμασσωντο* B P^2 (*—οντο*), *κατεληϊσαντο* N

αὐτὸν τοῖς ὀδοῦσιν αὐτῶν, καὶ ἔμεινεν νεκρός. νομίσας οὖν ὁ Κύνωψ ὅτι τέθνηκεν, εἶπεν πρὸς τὸν ὄχλον· ἄφετε αὐτὸν ἄταφον, ὅπως τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ τὰ θηρία τῆς γῆς καταφάγωσιν τὰς σάρκας αὐτοῦ, καὶ ἴδωμεν, εἰ ὁ Χριστός, ὃν κηρύττει, ἐγερεῖ αὐτόν. ἔχοντες δὲ τὸ ἀσφαλές, ὅτι τέθνηκεν Ἰωάννης, ἀνεχώρησαν ἅπαντες μετὰ Κύνωπος, ἕκαστος εἰς τὸν ἴδιον οἶκον.

Καὶ ἔμεινεν Ἰωάννης ἐπὶ τοῦ τόπου ἄφωνος· ἤμην δὲ ἐγὼ ἐν τῷ τόπῳ ἀποσκοπεύων τὰ περὶ αὐτοῦ. περὶ δὲ δευτέραν ὥραν τῆς νυκτὸς ὡς εἶδον, ὅτι ἡσυχία ἐγένετο ἐν τῷ τόπῳ ἐκείνῳ, ἤγγισα πρὸς αὐτόν, καὶ εἶπεν πρός με· τέκνον Πρόχορε. καὶ εἶπον αὐτῷ· τί ἐστιν κύριε; καὶ λέγει μοι· ταχέως ἄπελθε ἐν τῷ οἴκῳ Μύρωνος, ὅτι ἐκεῖ εἰσιν οἱ ἀδελφοὶ πάντες συναχθέντες καὶ πενθοῦντες, καὶ ἀνάγγειλον αὐτοῖς, ὅτι Ἰωάννης ζῇ, καὶ οὐδὲν κακόν ἐστιν ἐν αὐτῷ, καὶ ταχέως πάλιν ἐλθὲ ἐνταῦθα. καὶ εὐθέως ἐπορεύθην καὶ εὗρον πάντας τοὺς ἀδελφοὺς συνηθροισμένους καὶ πενθοῦντας περὶ Ἰωάννου. καὶ κρούσαντός μου τὰς θύρας τοῦ οἴκου οὐκ ἐτόλμων ἔσωθεν ἀνοῖξαι, νομίζοντες ὅτι ἐπιβουλή ἐστιν ἀπὸ τῶν τῆς πόλεως κατὰ ὑπόθεσιν τοῦ Κύνωπος τοῦ

1. αυτον V N c m^2 v: αυτω P^2, τουτον P^3, αυτου τας σαρκας m^1 | τ. οδ. αυτ. hier V P^2: vor dem Verb N (dieser > αυτων) P^3 B | ουν V c m^1 m^2: δε N v, και vor νομ. P^3 | 4. τ. σαρκας αυ. V P^2 P^3: αυτου τ. σ. m^2 m^3 v, αυτον N c m^1 L | ιδωμεν P^2 P^3 B: ειδομεν V N | ον κηρ. V N P^3 m^3 L: ον λεγει θεον P^2, αυτου c m^1 v, > m^2 | 5. εγερει P^2 v L: εγειρει V N etc. | εχοντες — ασφ. V: ασφαλως ουν παντων εχοντων B P^2 (εχ παντ.), εχοντων δε παντων N P^3, δοξαντων δε παντων m^3 | 6. απαντες V: > N etc. | 7. ιδιον V: εαυτου m^3, αυτου hinter οικον N P^3, ganz anders B P^2 | 8. ημην δε εγω V: εγω δε ημην m^3, και ημην εγω N P^2 | 9. εν τω τοπω V cf L: > N P^3 m^3 | αποσκοπευων V P^3: αποσκοπων N, διασκοπων dann aber abweichend m^3 | 10. ωραν V L: φυλακην N P^3 etc. | εγενετο N P^3: ενεκεν V | 11. εκεινω V: > N P^3 | 12. κ. ειπον — μοι N, wesentlich so P^2 P^3 B, eine Spur auch in L: > V m^3 | ταχ. απελθε V B (P^3?): απ. ταχ. N m^3 | 13. παντες hier N P^3 m^3: vor οι V, > B | 15. και ουδεν — αυτω N P^3, wesentlich so B m^3: > V L | και ταχ — ενταυθα V P^3 (ενθαδε, dies auch B) L: > N m^3 | 16 ευθεως V: ως ειχον ουν ταχους (απηλθον) m^3, *citissime* L, > N P^3 B | παντας τ. αδ. V: απαντας P^3, παντας B, αυτους N, *fratres* L, > mehreres m^3 | 17. περι Ιωαννου N P^3 B: τον Ιωαννην V | κρουσαντος V (cf m^3 κρουσας την θυραν ουκ ειχον επακουοντα): διακρουσαντος N P^3, nicht vergleichbar P^2 B | 18. ετολμων N P^3: κατετολμων m^3, ετολμουν V | εσωθεν V: > die andern | 19. απο των V: > N P^3, ganz anders m^3, wieder anders L | κατα V P^3: καθ' N | του vor Κυν. V N: > P^3

μάγου. ἐπὶ πολὺ δὲ διαμένοντός μου καὶ κρούοντος τὰς θύρας καὶ φωνὰς ἀποδιδόντος, εἷς τῶν παίδων Μύρωνος ἐγνώρισεν τὴν φωνήν μου καὶ διϊσχυρίζετο λέγων· ὅτι Πρόχορός ἐστιν. οἱ δὲ ἔλεγον· οὐχί, ἀλλά τινες εἰσὶν τῶν πολιτῶν. ἄλλος δέ τις προσελθὼν ἐπὶ θύρας ἔλεγεν· ὅτι Πρόχορός ἐστιν. καὶ ἀνοίξαντες εἶδόν με καὶ ἐξέστησαν· ἐνόμιζον γὰρ κἀμὲ συντεθνηκέναι τῷ Ἰωάννῃ. καὶ εἶπον πρὸς αὐτούς· μὴ ἔστω λύπη ἀναμέσον ὑμῶν, ἀδελφοί· ὁ γὰρ διδάσκαλος ἡμῶν ζῇ, καὶ αὐτός με ἀπέστειλεν πρὸς ὑμᾶς. ἀκούσαντες δὲ ὅτι ζῇ Ἰωάννης, οὐκέτι ἠθέλησαν ἄλλον λόγον ἀκοῦσαι παρ᾽ ἐμοῦ, ἀλλ᾽ εὐθέως συνεξῆλθόν μοι, καὶ ἤλθομεν ἐπὶ τὸν τόπον, ἐν ᾧ ἦν Ἰωάννης. καὶ εὕρομεν αὐτὸν ἑστῶτα καὶ προσευχόμενον καὶ ἔστημεν πάντες κατὰ ἀνατολάς, καὶ ἐπλήρωσεν Ἰωάννης τὴν εὐχήν, καὶ πάντες εἴπαμεν τὸ ἀμήν. καὶ μετὰ τὴν εὐχὴν ἠσπασάμεθα ἕκαστος τὸν Ἰωάννην, καὶ ἤρξατο διδάσκειν αὐτοὺς καὶ παραγγέλλειν περὶ τοῦ Κύνωπος, λέγων· Βλέπετε, ἀδελφοί, μή τις ἡμῶν πλανηθῇ ἐπὶ πᾶσιν οἷς ἐποίησεν Κύνωψ ὁ μάγος, ὅτι πάντα ἃ ποιεῖ διὰ φαντασίας ποιεῖ· ἀλλὰ ταχὺ ὄψεσθε τὴν ἀπώλειαν αὐτοῦ. καὶ διδάξας αὐτοὺς ἀπέλυσεν λέγων·

1. *διαμεν.* V P^3: *διαμειν.* N, *επιμεινας δε* m^3 | *και κρ. τ. θυρας* V (cf m^3 *τω κρουματι και φωτησας*, lies *φωνησας*): > N P^3 | 2. *αποδιδοντος* N P^3: *αποδιδουντος* V | 4. *οι δε — Προχορος εστιν* l. 5 P^3 N (*ταις θυραις*): > V (+ dagegen *ο μαθητης Ιωαννου*) L m^3 | 5. *και ανοιξ.* V: *και ουτως αν.* m^3, *et illi statim aperientes* L, *αν. δε* N P^3 | 6. *ενομιζον* V B m^3: *ενομισαν* N P^3 | *γαρ* V P^3 B m^3: *δε* N | *καμε* V N P^3: *και εμε* B ^{3} | *συντεθνηκ.*: *συντεθναναι* nur N (ohne folgendes *τω*) | 7. *και ει.* V: *ει. δε* N etc. | 9. *ζη Ιω.* V P^3 B (*ο Ιω.*): *Ιω. ζη* N | 11. *εν ω* V P^2: *οπου* N, *ενθα* B (P^3 ?) | 12. *ευρομεν — προσευχ.* V cf L: *και ευροντες αυτον ισταμενον και ευχομενον* P^2, *ιδου* (+ *αυτος* B, nur v hinter *ην*) *ην* (+ *εστως και* B) *προσευχομενος* N P^3 B | *και εστ. — ανατολας* V N P^3 (*απαντες*): *εστημεν και ημεις μετ᾽ αυτου* P^2, > B L | 13. *επληρ. Ιω.* V: *πληρωσαντος αυτου* N P^2, *τελεσας* P^2, *ως επληρωσε* m^2 (> das folgende *την*) v, *μετα* c m^1 | 14. *και παντες* V: *απαντες* N P^3, *παντες* P^2, > B, alles bis *την ευχην* > L | *ειπαμεν* N: *ειπομεν* V P^3, *υπηκουσαμεν* P^2 (dieser + *αυτον*) B | *κ μετα — Ιω.* V cf L: *κ. μετα την ευχην* (m^2 v, *μετα δε τουτο* c m^1, > N) *ησπασατο* (*ενα* + c m^1) *εκαστον ημων* N P^3 B | 15. *αυτους* V L: > N, anders die andern | 16. *του* V: > N | 17. *ημων* V (aber drüber geschrieben *υ*) m^3: *υμων* N etc. | *εποιησεν* V: *ποιει* N etc. | 18. *α ποιει* V L: > N etc. | 19. *αυτου* V (auch m^3 vor *απωλ.*): *τουτου* vor *απωλ.* N | *λεγων* V: × *παλιν εντολην ετεραν* N

μακροθυμήσατε, ἀδελφοί, καὶ ὄψεσθε τὴν χάριν τοῦ θεοῦ· ἡσυχάσατε δὲ πάντες ἐν τῷ οἴκῳ Μύρωνος. καὶ πάλιν ἠσπάσαντο αὐτὸν καὶ ἀνεχώρησαν.

Τῇ οὖν ἕωθεν ἔρχονταί τινες καὶ θεωροῦσιν ἡμᾶς ἐν τόπῳ καλουμένῳ Λίθου βολῇ, καὶ πορευθέντες πρὸς Κύνωπα εἶπον αὐτῷ, ὅτι ζῇ Ἰωάννης. ἀκούσας δὲ ταῦτα ὁ Κύνωψ προσκαλεσάμενος τὸν δαίμονα, δι' οὗ τὰς νεκρομαντείας ἐποίει, εἶπεν πρὸς αὐτόν· ἕτοιμος γενοῦ, ὅτι Ἰωάννης ζῇ. καὶ παρέλαβεν τὸ πνεῦμα τὸ ἀκάθαρτον καὶ ἦλθεν πρὸς ἡμᾶς. ἠκολούθει δὲ αὐτῷ ὄχλος πολύς, καὶ ὡς ἤγγισεν τῷ Ἰωάννῃ, εἶπεν αὐτῷ· βουλόμενος περισσοτέραν αἰσχύνην σοι περιποιήσασθαι καὶ βασάνους πολλάς, τούτου χάριν ἔασά σε ἔτι ζῆν· ἀλλὰ δεῦρο πάλιν ἐπὶ τὸν αἰγιαλὸν τῆς θαλάσσης καὶ ὄψῃ τὴν δύναμιν τὴν ἐμήν, καὶ τότε ἕξεις αἰσχύνην μεγάλην. καὶ ταῦτα εἰπὼν λέγει τοῖς περιεστῶσιν· κρατήσατε αὐτόν, ὅπως δυνάμεις πολλὰς πάλιν ἴδῃ παρ' ἐμοῦ γινομένας, καὶ τότε λοιπὸν παραδώσω αὐτὸν εἰς κρίσιν αἰωνίαν. καὶ ἐκράτησαν αὐτόν, καὶ ἐλθόντων ἡμῶν ἐν τῷ τόπῳ ἐκείνῳ, ἐν ᾧ τὰ πρῶτα ἐμπαίγματα ἐποίησεν ὁ Κύνωψ, ηὕραμεν ἐκεῖ πλῆθος ἀνδρῶν τε

1. *χαριν τ. θ.* N B cf L *(per gratiam Jesu Christi* etc.): *δυναμιν του θεου μου* V | 2. *και παλιν — ανεχωρ.* V L cf m^1 (*και παλιν εκαστον ασπασαμενος απελυσεν αυτους*, ähnlich c m^2 v): > N | 4. *εωθεν* V cf L *(cum ergo matutina lux exoriretur)*: *επαυριον* N B | 5. *βολη* N c m^1 m^2: *βολην* V v, den Namen und anderes > P^2 L | *κ. πορευθ. — Ιωαννης* N P^3 L: *κ. πορευθ απηγγειλον τω Κυνωπι* B, > V | 6. *ταυτα* N L *(hoc)*: > V B | *προσκαλεσ.* N B: *ευθεως προσεκαλει* V | 8. *ειπεν πρ. αυ.* N (c m^2 v *αυτω*): *και* (> m^1) *λεγει αυτω* V m^1 | *κ. παρελ. — ακαθαρτον* V: *και παραλαβων* N, *παραλαβων ουν* oder *δε* B | 10 *πολυς*: *πολλης* V | *ειπεν* V P^3: *λεγει* N B | 11. *σοι περιποιησ.* N, auch B aber *σοι* (*σου* v) vor *περισσ.*: nur *περιποιησ.* P^3, *ποιησασθαι σε* V | 12. *βασ. πολλας* V: *πολλ. βασ.* N P^3, > B | *εασα σε ετι* N: *εασατε* mit übergeschriebenem *σε* V, *ειασα σε τεως* c (P^3?) *ειασατε τεως* m^1 m^2, *σε εασα τεως* v | 13. *της θαλ.* V P^3: > N B | *οψη* V P^3 v: *οψει* c m^1 m^2, *οψεις* N | 14. *και τοτε — μεγαλην* V P^3 (*πολλην*): *και εντραπηση* B, > N | 15. *τοις περιεστ.* V: *προς τους παρεστωτας* N, *τω ακολουθουντι αυτω οχλω* B (P^3?) | *αυτον* N (nur dieser wiederholt dann *κρατησ. αυτον*) P^3 B m^3 cf L: *τον Ιωαννην* V | 16. *πολλας — γινομενας* N P^3: *παλιν ιδη πολλ. δυν. γιν. π. εμου* V | *λοιπον* N P^3: > V | 17. *εις κρ. αιω.* V P^3: *αιωνια κρισει* N m^3 (× *τη*) | *αυτον* V L: *τον Ιωαννην* N (+ *εως επι τον αιγιαλον*) m^3, den Satz > B (P^3?) | 18. *εν τ. τοπω εκ.* V: *επι τον τοπον* N, *ad locum* L, *επι τον αιγιαλον* B | *πρωτα* V c m^1 L: > N m^2 v | 19. *εποιησεν* V B (> *ο Κυν.*): *εποιει* N | *ηυραμεν* V N: *ευρομεν* B | *εκει* V B: > N | *τε* N c v: > V m^1 m^3

καὶ γυναικῶν, θυμιῶντας καὶ εὐχομένους ἐν τῷ τόπῳ. ὡς οὖν εἶδον τὸν Κύνωπα, ἔπεσον ἐπὶ πρόσωπον καὶ προσεκύνησαν αὐτόν. ἦσαν δὲ καὶ οἱ δαίμονες, οὓς ἔλεγεν ὁ Κύνωψ, ὅτι ἄνθρωποί εἰσιν καὶ διὰ τῆς ἐμῆς δυνάμεως ἀνέστησαν, ἀκολουθοῦντες αὐτῷ. εἶπεν δὲ ὁ Κύνωψ· κρατήσατε αὐτόν, ἕως τὴν ἐμὴν δύναμιν ἐνδείξωμαι πρὸς αὐτόν. διακρούσας δὲ τὰς χεῖρας, κτυπῶν καὶ κροτῶν ἔβαλεν ἑαυτὸν ἐν τῇ θαλάσσῃ καθὰ καὶ τὸ πρῶτον. καὶ ἀνέκραξαν ἅπαντες· μέγας εἶ, Κύνωψ, καὶ οὐκ ἔστιν πλὴν σοῦ. καὶ αὐτὸς ἄφαντος ἐγίνετο ἐξ ὀφθαλμῶν πάντων. ὁ οὖν Ἰωάννης εἶπεν τοῖς δυσὶ δαίμοσι, τοῖς νομιζομένοις ὑπὸ τοῦ ὄχλου, τοῦ ἐκδεχομένου τὸν Κύνωπα, ὅτι νεκροὶ ἦσαν καὶ ἀνέστησαν ὑπ᾿ αὐτοῦ· ὑμῖν λέγω, ἐν ὀνόματι πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος παραγγέλλω ὑμῖν, πνεύματα ἀκάθαρτα καὶ πονηρά, στῆναι ἐν τῷ τόπῳ τούτῳ, ἕως ἂν ὁ Κύνωψ εἰς ἀπώλειαν χωρήσῃ. καὶ ἔστησαν τὰ πνεύματα ἀκίνητα. καὶ διαπετάσας Ἰωάννης τὰς χεῖρας αὐτοῦ τύπῳ σταυροῦ καὶ στενάξας ἔκραξεν μεγάλῃ τῇ φωνῇ, λέγων· ὁ δώσας τῷ Μωϋσῇ διὰ τοῦ σχήματος τούτου καταβαλεῖν τὸν Ἀμαλήκ, κύριε Ἰησοῦ Χριστέ, κατάγαγε τὸν Κύνωπα ἐν τοῖς κατωτάτοις

1. θυμιωντας κ. ευχ. N B: θυμιοντων κ. ευχομενων V | εν τω τοπω V: > die andern | 2. επι προσωπον V P^3 v: + αυτων N, > c m^1 m^2 | 3. αυτον V N P^3: αυτω B | δε V N m^2 v: εκει + c m^1 (P^3?) | και οι δ. V N P^3: και (> m^1 m^2) οι τρεις δ. B | 4. και οτι (δια της εμης δυν. + V) ανεστησαν V P^3: > N, sehr anders und unter sich verschieden die andern | ακολ. αυτω N P^3 B: ηκολουθησαν ουν αυτον απαντες V | 5. ειπεν — αυτον N P^3, sachlich ähnlich B: > V L | 6. διακρ. δε τ. χειρας N P^3: και διακρ. τ. χ. B, ο δε παλιν κρουσας τ. χειρας αυτου V | 7. κτυπ. κ. κροτ. P^3 V (κροτ. κ. κτυπ.): εν κτυπω (και κροτω + N) μεγαλω B N | εν — πρωτον V: εις την θαλασσαν die andern | 8. ανεκρ. απ. V: εκραξαν παντες N (P^3?), οι δε οχλοι εβοησαν B cf L | 9. σου V N P^3: αλλος + B (v vor πλην) | αυτος V: ο Κυν. N P^3, den Satz in andrer Form vorher B | αφαντος V P^3 (c m^1 vorher, > m^2 v): αφανης N | 10. παντων V: αυτων N P^3, ημων απαντων vorher v, ημων vorher m^2, > c m^1 | ειπεν N P^3: ειδεν V | 11. του οχλου V: των ανθρωπων N (P^3?) | 12. υπ' αυτου V: υπο του Κυνωπος vor ανεστ. N | υμιν λεγω V (aber ημιν mit υ darüber): > N m^3 | 13 παραγγελλω N m^3: —ελω V | 14. ακαθαρτα και V: > N m^3 | στηναι V m^3: στητε N | ο N m^3: > V | 15. εις N m^3: > V | κ. εστησαν (τα πνευμ. ακινητα > m^3) V m^3: > N | 16. τ. χειρας hier V cf B (ο ουν Ιω. διαπετ. τ. χειρας): vor Ιω. N | αυτου τυπω στ. V: τυπω στ. v, και ποιησας τυπον στ. c m^1 m^2, > N | 17. μεγ. τ. φωνη N m^3: φωνην μεγαλην V | λεγων V: ειπε (?) m^3, > N | δωσας V: δους N m^3 | 18. Μωυση V m^3: Μωση N | 19. καταγ. N m^3 (+ και) B: καταβαλε και V | κατωτατοις V B: κατω τουτοις N

τῆς θαλάσσης, καὶ μηκέτι ὄψεται τὸν ἥλιον τοῦτον μηδὲ καταλεχθήτω ἐν τοῖς ζῶσιν ἀνθρώποις. καὶ ἐπὶ τῷ λόγῳ Ἰωάννου εὐθέως ἦχος ἐγένετο τῆς θαλάσσης καὶ ἰλιγγίασεν τὸ ὕδωρ ἔνθα ὁ Κύνωψ κατῆλθεν, καὶ ἐβυθίσθη ὁ Κύνωψ καὶ οὐκέτι ἐξῆλθεν τὸ λοιπὸν ἐκ τῆς θαλάσσης. ὁ οὖν Ἰωάννης εἶπεν πρὸς τοὺς δύο δαίμονας τοὺς νομιζομένους παρὰ τοῖς πεπλανημένοις ὅτι ἄνθρωποί εἰσιν· παραγγέλλω ὑμῖν ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ ἐσταυρωμένου ἐξελθεῖν ἀπὸ τῆς χώρας ταύτης. καὶ αὐτῇ τῇ ὥρᾳ ἄφαντα ἐγένοντο τὰ πνεύματα ἀπὸ τῶν ἀνθρώπων.

Ἰδόντες δὲ οἱ ὄχλοι ὅτι σὺν τῇ φωνῇ Ἰωάννου ἀπώλοντο οἱ νομιζόμενοι ἄνθρωποι εἶναι παρ᾽ αὐτοῖς, ἠγανάκτησαν κατὰ Ἰωάννου, μάλιστα ὁ φαντασθείς, ὅτι ὁ πατὴρ αὐτοῦ ὑπῆρχεν ὁ ἀσώματος δαίμων, ὁμοίως καὶ ὁ ἕτερος ὁ νομίζων, ὅτι ὁ υἱὸς αὐτοῦ ὁ κακῶς ὀλεσθεὶς ἠγέρθη διὰ Κύνωπος, καὶ κρατήσαντες τὸν Ἰωάννην εἶπαν πρὸς αὐτόν· φυγοπολῖτα, παράδος ἡμῖν

1. *οψεται* V N m^3: *θεασηται* c m^2 v, *θεαση* m^1 | *τον ηλ. τ.* N m^3 B L: *το φως τουτο* V | *καταλεχθητω* N: *καταλεχθη* c m^1 m^2 m^3, *καταταχθη* v, *καταλεγεσθω* V | 3. *ευθεως — κατηλθεν* N P^3 (*ηλιγγιασε*) m^3 (*ιλιγγιασε τε*): wesentlich ebenso P^2 m^2 v, ähnlich c m^1 (*και ποιησαν μεγαν ιλιγγα το υδωρ εν ω*), > V | 4. *κ. εβυθισθη — θαλασσης* V cf P^2 (*και κατεποντισθη ο πλανος Κυνωψ εις την αβυσσον του πυρος και ουκετι εφανη εν οφθαλμοις των ανθρωπων*) L *(et illa hora submersus est, nunquam ab aliquo postea visus)*: *και ουκετι ανηλθεν εκ της θαλασσης* m^2 v, *ουκετι ανελθειν αυτον εποιησεν απο της θαλ.* c m^1, > N P^3, ganz anders m^3 | 5. *ο ουν Ι. ειπεν* V B (v *γουν*): *και ειπεν Ι.* N | 6. *δυο* V L: > N etc. | *παρα — εισιν* V: *ανθρωπους ειναι* N, nur *ανθρωπους* m^3, *εκ νεκρων αναστηναι* B | 7. *παραγγελλω* N m^1 m^2 v: *παραγγελω* V P^3 c | 8. *τ. εσταυρ.* V B (vor *Ιησ.*): *του σταυρωθεντος* (*τ. εσταυρ.* N) *επι Ποντιου Πιλατου* N P^3 m^3, andere Zusätze L | *χωρας* V L *(regione)*: *νησου* N P^3 B | 9. *αφαντα — ανθρωπων* N P^3, wesentlich so B (v > *απο τ. ανθρ.*) cf auch L: *αφαντοι εγενοντο* V | 12. *ειναι παρ᾽ αυτοις* V: *παρ᾽ αυτοις* ohne *ειναι* vor *ανθρωποι* N etc. | 13. *ο πατηρ* V etc.: *πατηρ* N | 14. *ασωματος* V cf Ign. ad Smyrn. II u. III, 2 nebst meinen Noten: *ασωτος* N P^3, die andern nicht zu vergl. | *ο ετερος* V: *ο αλλος* B (P^3?), > N | *ο* vor *υιος*: > nur N | 15. *ηγερθη* N: *ηγερθεισαν* (aber *σαν* punctirt) V, *εστιν ο ακαθαρτος δαιμων* B | *δια Κυνωπος* V: > N | 16. *ειπαν πρ. αυ.* V: *ειπον αυτω* N | *φυγοπολιτα* (geschrieben *—λετα*) V: *μαγε* N | *παραδος — υιον μου* V cf L (auch zuerst den Vater, dann den Sohn): *παραδος* (*δος* c m^1) *μοι τον υιον μου και ομοιως ο παις* (*και ο ετερος* m^2 v, *κ. ο αλλος παλιν* c m^1) *δος* (*αποδος* c m^1) *μοι τον πατερα μου, μαγε εξοριστε* (*εξορ. πλανε* vor *δος* B) N P^3 B

τὸν πατέρα μου, καὶ ὁ ἕτερος· ἀπόδος μοι τὸν υἱόν μου. λοιπὸν δὲ καὶ οἱ περιεστῶτες ἄνθρωποι ἐπῆλθον αὐτῷ λέγοντες· εἰ ἧς ἀγαθὸς ἄνθρωπος, τὰ ἀπολεσθέντα συνήγαγες ἄν· σὺ δὲ μάγος ὑπάρχων τὰ ὑπὸ τοῦ καθωρατάτου Κύνωπος συναχθέντα ἐδίωξας· παράστησον ἡμῖν τοὺς ἀνθρώπους, ἐπεὶ ἀποκτενοῦμέν σε. καὶ ἐζήτουν ἀποκτεῖναι αὐτόν· τινὲς δὲ ἐξ αὐτῶν εἶπον· μηδὲν κακὸν ποιήσωμεν αὐτόν, ἕως οὗ ὁ καθαρώτατος Κύνωψ παραγένηται πρὸς ἡμᾶς, καὶ αὐτὸς παραδώσει αὐτὸν τῇ κρίσει. καὶ ἐπείσθησαν πάντες, ὅτι παραγγελίαν ἐδίδου ὁ Κύνωψ πᾶσιν, ὅτε ἔμελλεν ἐπὶ τῆς θαλάσσης κατελθεῖν εἰς τὴν ἑαυτοῦ ἀπώλειαν, ὅπως μηδεὶς αὐτῶν ἀναχωρήσῃ ἕως τῆς αὐτοῦ παρουσίας. ἔμειναν οὖν τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας φωνὰς ἀποδιδοῦντες καὶ λέγοντες· καθαρώτατε Κύνωψ, βοήθει. ἦσαν δὲ καὶ ἄσιτοι διατελέσαντες τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας καὶ εἰς ἀδυναμίαν πολλὴν ἦλθον οἱ πάντες ἀπὸ τῆς ἀσιτίας καὶ τῶν φωνῶν τῶν ἀποδιδομένων παρ' αὐτῶν. τινὲς δὲ ἐξ αὐτῶν πεσόντες ἄφωνοι ἔμειναν, τρεῖς δὲ ἐξ αὐτῶν καὶ ἀπέθανον. ὁ οὖν Ἰωάννης θεωρήσας αὐτοὺς ἀπολλυμένους, στενάξας πικρῶς καὶ κλαύσας εἶπεν· κύριε Ἰησοῦ Χριστέ, δι' ὃν ἐγὼ ταῦτα ὑπο-

1. *λοιπον — ανθρωποι* V: *και παντες οι παρεστωτες* N, *ομοθυμαδον δε παντες* B (P^3?) | 2. *επηλθ. αυ. λεγ.* V: *κατα Ιωαν.* (sic) *και ελεγον προς αυτον οτι* N, *ελεγον προς αυτον* B | 3. *αγαθος* hier V: hinter *ανθρ.* N B | *αν* hier V v: vor *συνηγ.* N etc. | 4. *καθαρωτατου* V: *καθαρου* N P^3, *ευεργετου ημων* c m^1 m^2 (> *ημων*), *αριστου* v | 5. *παραστ.* N (+ *ουν*) P^3 B: *δος* V | *ανθρωπ.* V m^2 v: *δυο* × N P^3, *ανδρας* c m^1, *illos duos* L | *επει αποκτ.* (geschr. – *ενομεν*) *σε* V cf L *(aut nobis propositum est te interficere)*: *ει δε μη αποκτενουμεν σε* c m^1, > N P^3 m^2 v | 6. *κ. εζητ. αποκτ.* (*αποπνιξαι* N, *ανελειν* B) *αυτον* N P^3 B: > V L | *εξ αυτων ειπον* V P^3 B L: *παλιν ελεγον* N | 7. *αυτον* V P^3: *αυτω* N | *ου* N (> das folgende *ο*) P^3 B: *αν* V | 9. *κ. επεισθ. παντες* V P^3 L (> *παντες*): > N, alles bis *εμειναν* l. 12 > B | *οτι παρ. εδ.* V: *παρηγγειλε(ν) γαρ* N P^3 | 10. *πασιν* V: > N P^3 L | *εμελλεν* V: *ημελλεν* N P^3 | *εις — απωλειαν* V: > N P^3, noch mehr > L | 11. *αναχωρηση* N: *—σει* V P^3 | *εως τ. αυ. παρουσ.* V: > N P^3 | 12. *ουν* V L: *δε* B, *και* vor *εμειναν* N P^3 | 13. *αποδιδουντες* V N: *αποδιδοντες* P^3 | *κ. λεγοντες* V P^3: > N | 14. *διατελ.* V: *διαμειναντες* N P^3 | *τρ. ημ. — νυκτας* V: > N P^3 | 15. *εις* V: *εκ τουτου* × N P^3 | *ασιτιας* V c m^1 m^2: *—ειας* N P^3 v | 16. *τ. αποδιδ. παρ' αυτων* N P^3: *τ. διδομενων υπ' αυ. τω Κυνωπι* V, > B | 17. *πεσοντες* V: *καταπεσοντες επι της γης* N P^3 | *εμειναν* V: *διεμειναν* N P^3 | 18. *θεωρησας* V: *ιδων* m^2 v, *ως ειδεν* N P^3 c (m^1 *ειπεν*) | *απολλυμ.* N P^3 B m^3 (nur dieser + *εικη* wie L *sine ratione)*: *απολελυμενους* V | 19. *ον* N P^3 B (> *εγω*): *ων* V

μένῳ, ἔμβαλε εὐθύτητα εἰς τὰς καρδίας τοῦ λαοῦ τούτου, ὅπως μηδεὶς αὐτῶν ἀπόληται. καὶ ταῦτα εἰπὼν παρῄνει πᾶσιν, λέγων· ἄνδρες ἀδελφοὶ καὶ πατέρες, ἀκούσατέ μου· ἤδη τετάρτην ἡμέραν ἔχετε ἄσιτοι διατελοῦντες καὶ προσδέχεσθε τὸν μὴ ἐρχόμενον· Κύνωψ γὰρ εἰς ἀπώλειαν ἀπῆλθεν. διὸ παρακαλῶ ὑμᾶς μεταλαβεῖν τροφῆς, καὶ ἕκαστος ὑμῶν ἀναχωρῆσαι εἰς τὸν ἑαυτοῦ οἶκον. καὶ ταῦτα εἰπὼν ἐπέστη τοῖς τρισὶν τοῖς τεθνηκόσιν ἀπὸ ἀσιτίας καὶ εἶπεν εὐχόμενος· ὁ ἐν τῇ σάλπιγγι καὶ ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ ἐγείρων τὸ γένος τῶν ἀνθρώπων τῶν ἀπ' αἰῶνος κοιμηθέντων, κύριε Ἰησοῦ Χριστέ, δὸς τὴν χάριν σου ἐπὶ τοὺς τρεῖς ἀνθρώπους τούτους. καὶ εὐθέως ἀνέστησαν οἱ τεθνεῶτες. ἰδόντες δὲ πάντες οἱ ὄχλοι ὃ ἐποίησεν σημεῖον ὁ Ἰωάννης πεσόντες ἐπὶ τὴν γῆν προσεκύνησαν αὐτὸν λέγοντες·

1. *τας καρδιας* V B: *την καρδιαν* N P^3 | 2. *αυτων* V B: *εξ* × N P^3 | *αποληται*: *απολει* (sic) V, *απωλειται* m^1 m^2 v, *απωληται* N P^3 c | *ταυτα ειπων* N P^3 B (nur m^1 *ευξαμενος*): > V | *πασιν* V N P^3 m^2 v: *αυτοις* c, *αυτους* m^1 | 3. *μου* N P^3 B L *(me patienter)*: > V | 4. *εχετε* N P^3 m^3 (+ *σημερον*): > V | *διατελουντες κ. προσδεχεσθε* N P^3 m^3: *διατελειτε προσδεχομενοι* V, *διαμενοντες προσδεχομενοι* B | *τον — απηλθεν* V N P^3 m^3 (+ *τελειαν* nach *απωλ.*): *τον εις απωλειαν χωρησαντα* B (nur v *εν απω.* Nach diesen am Ende von fol. 76 v. stehenden Buchstaben geht v auf fol. 77 mit *αυτου υπουργους και μαθητας απεστειλεν* zu p 109, 12 sqq. über) | 6. *μεταλαβειν* m^3 B (aber anders gestellt): *μεταλαβοντας* N, *λαβειν* V | *και — οικον* V m^2 (*αναχωρησατε εκ. υμων*): *αναχωρῆσαι εκαστον εις τ. οικον αυτου* N (cf c m^1, welche dies hinter *υμας* stellen u. + *υμων* hinter *εκαστον*, dann *εαυτου οικον*), > m^3 | 7. *ειπων*: + *ο αποστολος του Χριστου* nur V | *τρισιν* V: *ανδρασιν* + N m^3, *παισιν* B (P^3?) | 8. *απο ασιτιας* V L: *της θλιψεως της ασιτειας· ην γαρ εικεινος ο τοπος τιμωρων αυτους απο του καυσωνος του ηλιου* N P^3, *απο τε ασιτιας και καυσωνος* m^3, > B | *και ειπεν ευχομ.* V: *κ. ειπεν* N P^3, *κ. προηυξατο λεγων* B, *λεγων* m^3, *super eos ita orans* L | *εν τη σαλπ. — ημερα* V L *(in novissimo die et in novissima tuba)*: *εν τη εσχατη ημ. δια σαλπιγγος* N P^3, wie es scheint auch m^3, *δια της εν τη εσχατη ημ. φοβερας σαλπιγγος* B | 9. *εγειρων* N P^3 B: *εγειραι μελλων* m^3, *excitabis* L, *λογω εγειρας* V | *το γενος — κοιμηθεντων* V L: *τους απ' αιωνος κοιμηθεντας* N P^3 B m^3 (*κεκοιμημενους*) | 10 *δος* V P^3 m^3: *μοι* + N, *δωρησαι μοι τω σω δουλω* B (dann aber ganz abweichend) | *τ. χαριν σου* N P^3 V (verschrieben *της χαρισου*) L: *τ. χαριν της αναστασεως σου* m^3 | 11. *επι* V L: *και* × N P^3 m^3 | *τρεις* V P^3 m^3: > N | 12. *οι τεθν.* V: *οι ανθρωποι* m^3, *οι νεκροι* B, *a morte* L, *οι τρεις ανδρες οι τεθνηκοτες* N P^3 | *παντες οι οχλοι* V: *οι οχλοι* (+ *του λαου* m^2) B L, *παντες* N P^3 m^3 | *ο εποιησεν σημ. ο Ιω.* V cf L: *ο εποιησεν Ιω.* N P^3, *το γεγονος* m^3, *το γεγονος* (*γεγενημενον* m^2) *σημ.* B | 13. *επι την γην* V L: > N P^3 m^3, anders B | *λεγοντες* V m^3 B L: *και ειπον* N P^3

διδάσκαλε, νῦν ἔγνωμεν ὅτι ἀπὸ τοῦ θεοῦ ἐλήλυθας πρὸς ἡμᾶς. ἰδὼν δὲ αὐτοὺς Ἰωάννης, ὅτι ἐκλελοίπασιν ἀπὸ τῆς ἀσιτίας, εἶπεν πρὸς αὐτούς· ἀπέλθατε εἰς τοὺς οἴκους ὑμῶν καὶ μεταλάβετε τροφῆς καὶ ἀνακτήσασθε ἑαυτούς· κἀγὼ γὰρ πορεύσομαι εἰς τὸν οἶκον Μύρωνος τοῦ δούλου τοῦ θεοῦ καὶ πάλιν ἐλεύσομαι πρὸς ὑμᾶς ἐπὶ συντυχίᾳ ἀμφοτέρων. καὶ ἀπῆλθον ἕκαστος εἰς τὸν ἑαυτοῦ οἶκον, καὶ ἡμεῖς ἐπορεύθημεν ἐν τῷ οἴκῳ Μύρωνος, καὶ ἐγένετο χαρὰ μεγάλη ἐν τῷ οἴκῳ εἰσελθόντων ἡμῶν, καὶ παρέθηκεν ἡμῖν τράπεζαν Μύρων, καὶ μετελάβαμεν τροφῆς, καὶ ἦν ἀγαλλίασις μεγάλη ἐκεῖ.

Τῇ δὲ ἐπαύριον συνήχθη σχεδὸν πᾶσα ἡ πόλις καὶ ἦλθον ἐπὶ τὴν οἰκίαν Μύρωνος καὶ ἔκραζον λέγοντες· Μύρων, Μύρων, ἄξιε πλείστων ἀγαθῶν, προένεγκε τὸν διδάσκαλον ἡμῶν, ὅπως ὠφεληθῶμεν. ἐνόμισεν δὲ Μύρων, ὅτι δόλῳ φωνοῦσιν, ὅπως παραγάγῃ τὸν Ἰωάννην, καὶ λαβόντες ἀποκτείνωσιν αὐτόν. καὶ εἶπεν Ἰωάννης πρὸς Μύρωνα· τί τεταραγμένη ἐστὶν ἡ καρδία σου; πιστεύω γὰρ τῷ ἐσταυρωμένῳ, ὅτι οὐδὲν κακόν ἐστιν ἐν

1. *νυν* V m^1 L: > N P^3 c m^2 m^3 | *εγνωμεν* V L *(cognoscimus)*: + *παντες* N P^3, + *αληθως* B, *αληθως εγν. απαντες* m^3 | *του* V: > N P^3 m^3, nicht zu vergl. B | 2. *ιδων — Ιω.* V: *ιδων δε ο Ιω.* B, *ο δε Ιω. ιδων* m^3, *ο δε Ιω. ορων* N | *εκλελοιπασιν* N cf L *(defecti erant)*: *εκλελυμενοι εισιν* B m^2 (P^3?), *ετελευσαν* (?) V | *της*: > nur V | 3. *απελθατε* V P^3: *απελθετε* N B, ganz anders m^3 | *και μεταλαβετε* (nur V *εσθιεται*) *τροφης* V N P^3: > B | 4. *ανακτησ.* V N P^3 c: *αναστησασθε* m^1 m^2 | *καγω* N P^3 B L: *εγω* V | *γαρ* V L: > N P^3 B | *πορευσομαι* V P^3 c m^1: *πορευσωμαι* N, *πορευομαι* m^2 | 5. *Μυρωνος* N P^3 B L: *μου προς* V ohne anders fortzufahren | 6. *προς υμας* V L: > N P^3 B | *αμφοτερων* N P^3: *υμων* + V, nur *υμων* B | *απηλθον* N (P^3?) L: *απηλθεν* V | 8. *εν τω οικω* V N m^2: + *εκεινω* P^3, der daran sofort *τη δε επαυρων* l. 11 anschliesst, > c m^1. Vor *χαρα* ist bei Amphil. eine ganze Zeile ausgefallen | 9. *μετελαβαμεν* V: *—βομεν* N B | 10. *μεγαλη εκει* V: *πολλη εν τω οικω Μυρωνος* N | 11. *ηλθον* V N: *ηλθεν* P^3 | 12. *κ. εκραζον* V P^3 c m^1: *κ. εκραξον* (sic) N, *κ. εκραξαν* m^2, *κραζοντες και* m^3 | *Μυρων* zweimal V N P^3 m^3: einmal B L | 13. *αξιε πλειστων* (geschrieben *πασων*, s. aber die andern) *αγαθων* V L *(plurimorum bonorum)*: *αξιε πλειστων* (*πολλων* c m^1) *επαινων* P^3 B m^3, *επαινων αξιε πλειστων* N | *προενεγκε* P^3 m^3: *προσεν.* V N, *προαγαγε* c m^1, *προσαγαγε* m^2 | *διδ. ημων* V m^3: *ημ. διδ.* N P^3, *διδασκ.* B | 14. *ωφεληθ.* V N B m^3: *δι' αυτου* + P^3 | *δολω φωνουσιν* N P^3 (P^2 der hier sich von B emancipirt, als ein Wort mit nur einem Accent): *δολω φθονουσιν* V, *εν δολω κραζουσιν* B | 15. *παραγαγη* V (*-γει*) N P^3: *επαγει* P^2 | *και ειπεν* V: *ειπεν δε* N P^3 | 17. *γαρ* N P^3 L: > V B m^3 | *τω εστ.* V N m^3: *Χριστω* × P^3, *domino meo* × L, nur *τω Χρ.* B

τοῖς ἀνθρώποις τούτοις. καὶ ταῦτα εἰπὼν ἐξῆλθεν ἀπὸ τοῦ οἴκου, καὶ ἰδόντες αὐτὸν οἱ ὄχλοι ἤρξαντο λέγειν πρὸς Ἰωάννην· σὺ εἶ ὁ εὐεργέτης τῶν ψυχῶν ἡμῶν, σὺ εἶ ὁ μέγας θεός, ὁ φωταγωγῶν ἡμᾶς τῷ ἀθανάτῳ φωτί. ἀκούσας δὲ ταῦτα Ἰωάννης διέρρηξεν τὰ ἱμάτια αὐτοῦ, καὶ λαβὼν γῆν ἐπέχεεν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ ἐξέστησαν ἅπαντες ἐπὶ τούτῳ. κατασείσας δὲ τῇ χειρὶ αὐτοῦ, ἐσιώπησαν πάντες. καὶ ἀναβὰς ὁ Ἰωάννης ἐπὶ τοῦ δώματος καὶ συναχθέντων πάντων ἔγγιστα τοῦ οἰκήματος, εἶπεν Ἰωάννης· ἀκούσατέ μου, ἀδελφοί, τῆς πρὸς ὑμᾶς ἀπολογίας. οἱ δὲ περισσοτέρως ἡσυχίαν παρέσχον, ὁ δὲ Ἰωάννης ὑπολαβὼν ἀπὸ τῶν βίβλων Μωσέως, ἔπειτα καὶ τῶν προφητῶν διηρμήνευεν αὐτοῖς τὰ περὶ τοῦ υἱοῦ τοῦ θεοῦ, ὅτι οὗτός ἐστιν ὁ εὐεργέτης καὶ ὁ φωταγωγὸς τῶν ψυχῶν ἡμῶν τῶν πιστευόντων εἰς αὐτόν, καὶ ὅτι διὰ τὴν πλάνην τῶν ἀνθρώπων ἐξαπέστειλεν τὸν υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον, ὅπως τοὺς παραβάντας τὸν νόμον ἐλευθερώσῃ. ταῦτα εἰπὼν καὶ πλείονα τούτων κατῆλθεν ἀπὸ τοῦ δώματος, καὶ πάλιν εἰσῆλθεν ἐν τῷ οἴκῳ Μύρωνος.

2. οικου: nur V + Μυρωνος | Ιωαννην V: αυτον N (P^3?), εαυτον P^2 | 3. ο μεγας θεος ο φωτ. V N P^3 L (unter anderem auch dies): το φως το φωταγογουν P^2, nur ο φωταγωγων B | 4 ημας N P^2 P^1: > V B, hominem L | ακουσας δε τ. Ιω. N P^3 (ο Ιω. so auch m^3) P^2 (> ταυτα): και ακουσας Ιω. ταυτα V | 5. λαβ. γην V m^3: γην λ. P^2 P^3, χουν λ. N | 6. επεχ. V P^2 m^3: εχεεν N P^3 | απαντες V N P^3: > P^2 m^3 | επι τουτω P^3 m^3: επι τουτο N P^2, > V | 7. κατασεισας — ειπεν l. 9 P^2 P^3 (ο vor Ιω.) N (dieser εγγις statt εγγιστα): κατασεισας δε τη χειρι κατεσιγησεν απαντας dann sehr abweichend m^3, κατασισαντος δε την χειρα αυτου Ιω. ειπεν V | 9. μου hier V N P^3: hinter αδελφοι P^2 | 10. περισσοτερως ησ. παρ. N P^3 P^2 (σχωντες statt παρ.): περισσως ησυχασαν V | 11. ο δε Ιω. υπολ. N P^3: υπολ. δε Ιω. V, τοτε Ιω. επιλαβομενος P^2 | βιβλων V P^3: βιβλιων N P^2 | Μωσ. επειτα N P^2 P^3: Μωυσεως V | 12. αυτοις V P^3 L: > N P^2; die folgende Rede giebt B sehr abweichend; im Verlauf derselben tritt auch v wieder ein als Zeuge für B 13. οτι αυτος N P^2 P^3: ουτως γαρ V | φωταγωγος των ψ N P^2 P^3: φωταγωγων τας ψυχας V | 14. ημων V N: > P^2 P^3 | πιστευοντων εις αυτον N P^2 P^3 (auch B, nur anders gestellt): ελπιζοντων εις αυτον V | την πλανην N P^2 P^3: της πλανης V | 15. γενομ. εκ γυν. V L: τον μονογ. N P^2 P^3 | 16. das zweite γενομ. in V γεναμενον | οπως V P^2 P^3: ινα N | παραβαντας τον ν. V: παραβατας του νομου N P^2 P^3, υπο νομον m^3, *qui sine lege erant* L | 17. ελευθερωση (oder —σει) V N P^2 m^3: εξαγορασει P^3, *salvaret* L | ταυτα — τουτων N P^2 P^3: διδαξας αυτους V, sehr anders m^3 L | 18. παλιν εισηλθεν N P^2 P^3: εισελθων παλιν V

καί τινες ἐκ τοῦ ὄχλου συνῆλθον αὐτῷ καὶ ἠξίωσαν αὐτόν, ὅπως δώσῃ αὐτοῖς τὴν ἐν Χριστῷ σφραγῖδα. καὶ πάλιν διδάξας αὐτοὺς ἐβάπτισεν εἰς ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος. ἦσαν δὲ οἱ φωτισθέντες τὸν ἀριθμὸν ἄνδρες τριάκοντα.

Τῇ δὲ ἐπαύριον προελθὼν Ἰωάννης ἀπὸ τῆς οἰκίας, ἠκολουθήσαμεν αὐτῷ ἐγώ τε καὶ Μύρων καὶ οἱ τριάκοντα οἱ φωτισθέντες. ἤλθαμεν δὲ παρὰ τὸ ἱπποδρόμιον, καὶ ἰδοὺ ἦν ἐκεῖ ἄνθρωπος Ἰουδαῖος, ὀνόματι Φίλων, ἐπιστάμενος τὸν νόμον κατὰ τὸ γράμμα. ὡς οὖν εἶδεν τὸν Ἰωάννην, ἤρξατο αὐτὸν διεγείρειν ἀπό τε τῶν βιβλίων Μωσέως καὶ τῶν προφητῶν. ὁ οὖν Ἰωάννης ἑρμήνευεν αὐτῷ κατὰ τὸ πνεῦμα· τοῦ δὲ Φίλωνος φιλονεικοῦντος κατὰ τὸ γράμμα, ἀσύμφωνα εὑρίσκετο τὰ ἑρμηνευόμενα παρὰ Ἰωάννου καλῶς πρὸς τὰ φιλονεικούμενα ὑπὸ Φίλωνος κακῶς. ὁ οὖν Ἰωάννης εἶπεν πρὸς τὸν Φίλωνα· Φίλων, Φίλων, οὐ χρείαν ἔχει ἡ θεία γραφὴ πολυρημονίας ἀλλὰ καρδίας καθαρᾶς καὶ πίστεως ὀρθῆς. ἀνεχώρουν οὖν ἀπ᾽ ἀλλήλων ἀσύμφωνοι εὑρισκόμενοι. μικρὸν δὲ Ἰωάννης

1. *και τινες — συνηλθον* N P^3: *και το πλειστον εκ του οχλου συνεισηλθον* P^2, *συνηλθον αυτω τινες εκ τ. οχ.* V | *ηξιωσαν*: nur V *ηξιουν* | 2. *δωση* N: *δωσει* V P^2 P^3 | *παλιν διδαξ.* V P^2: *διδαξας και κατηχησας* N P^3 | 3. *αυτους εβαπτισεν κτλ.*: nur V hinter *εβαπτισεν αυτους* u. dann *το ονομα του πατρος κτλ.* | 4. *τον αριθμον*: > V | *ανδρες τρ.* V P^2 P^3: *τρ. ανδρες* N | 6. *Ιω.* V P^2: *ο Ιω.* N P^3 | *της οικιας — φωτισθεντες* P^2 P^3 (*ο* vor *Μυρων*) N (*ηκολουθησαν*): *του οικου Μυρωνος ελαβεν εμε τε και τους* V | 8. *ηλθαμεν δε* P^2 (P^3 N *ηλθομεν*): *και ηλθαμεν* V | *ιπποδρομιον* V (ursprünglich *υππο—*) P^2 P^3: *ιπποδρομειον* N, hiervon nichts in B u. m^3. Letzterer geht nach *αγιου πνευματος* l. 3 mit den Worten *μειναντες δε εν τη πολει Φθορα ετη τρια εκειθεν απηραμεν και ηλθομεν εις Μυρρινουσαν πολιν* über Vieles hinweg | *ιδου*: > V | 9. *εκει* V P^2: > N P^3 | *Φιλων*: *Φιλωνος* V | 10. *κατα το γρ* B L *(ad litteram)*: *κατα το γεγραμμενον* V, *και το γραμμα* N P^2 P^3 | *αυτον διεγ.* V: *διεγ. αυτον* P^2, *διεγ. αυτω λογους* N P^3, *συζητειν αυτω* B (m^1 > *αυτω*) | 11. *τε — Μωσ.* N P^2 P^3: *των Μωσαικων βιβλων* V, *των Μωσεως βιβλων* B | 12. *ερμηνευεν* V P^2: *ερμηνευσεν* P^3, *ηρμηνευεν* N | *αυτω* N P^2 P^3: *αυτας* V | *το* V P^3: > N P^2 | *δε* V N B (der übrigens abweicht): > P^2 P^3 | 13. *ασυμφωνα*: nur P^2 *ασυμφωνια* | *ευρισκετο*: nur V *ην* | 14. *ερμην.* hier V P^2 P^3: hinter *καλως* N | *καλως — κακως* N P^2 P^3: > V | 15. *ουν Ιω.* N P^2 P^3: *δε αποστολος* V | *τον Φιλ.* N P^2 P^3: *αυτον* V | 16. *Φιλων*: nur P^2 zweimal *Φιλον* | *πολυρημ.* N P^2 (*—ριμ.*) P^3 B (*—ρρημ.*) cf L: *πολυπραγμονιας* V | 17. *ανεχωρ. — ευρισκομενοι* P^2 P^3 (> *ουν*) N (*και δη ανεχ.*) cf B: > V | 18. *Ιωαννης* P^2 V (hinter *υπαναχ.*): *ο* × N P^3

ὑπαναχωρήσας τοῦ Φίλωνος, ἰδού τις ἐπὶ τῆς γῆς ἔρριπτο χαμαί, συνεχόμενος πυρετῷ, καὶ νεανίσκος ἐκαθέζετο ἔγγιστα αὐτοῦ. ὡς οὖν εἶδεν ὁ νεανίσκος τὸν Ἰωάννην καὶ ὄχλον πολὺν περὶ αὐτόν, εἶπεν πρὸς αὐτόν· ἄνθρωπε τοῦ θεοῦ, ἐλέησον τὸν κατακείμενον καὶ κούφισον ἐξ αὐτοῦ τὸν πυρετόν. καὶ ἐγγίσας Ἰωάννης τῷ νοσοῦντι εἶπεν αὐτῷ· ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ, οὗ ἐγὼ κῆρυξ καὶ δοῦλός εἰμι, ἀνάστα καὶ πορεύου εἰς τὸν οἶκόν σου ὑγιαίνων. καὶ εὐθέως ἀνέστη ὁ νοσῶν ὑγιὴς καὶ προσεκύνησεν τὸν Ἰωάννην καὶ ἐπορεύθη εἰς τὸν οἶκον αὐτοῦ. ἰδὼν δὲ Φίλων ὃ ἐποίσεν Ἰωάννης, δραμὼν ἐκράτησεν αὐτὸν τῆς χειρὸς καὶ εἶπεν· διδάσκαλε. ὁ δὲ εἶπεν· τί ἐστιν, νομικέ; ὁ δὲ Φίλων ἔφη· τί ἐστιν ἀγάπη; ὁ δὲ Ἰωάννης εἶπεν· ὁ θεός ἐστιν ἀγάπη, καὶ ὁ ἔχων τὴν ἀγάπην, ἔχει τὸν θεόν. ὁ δὲ Φίλων πρὸς αὐτόν· εἰ ὁ θεός ἐστιν ἀγάπη, καὶ ὁ ἔχων τὴν ἀγάπην ἔχει τὸν θεόν, δεῖξον δὴ οὖν τοῦ θεοῦ τὴν ἀγάπην καὶ εἴσελθε ἐν τῷ οἴκῳ καὶ φαγώμεθα ἄρτον, καὶ πίωμεν ὕδωρ, ὅπως ὁ θεὸς εἴη μεθ' ἡμῶν. καὶ εὐθέως Ἰωάννης ἠκολούθησεν αὐτῷ. εἰσελθόντων δὲ ἡμῶν ἐν τῷ οἴκῳ Φίλωνος ἡ

1. *του Φ.* N P^2 P^3: *τω Φιλωνι* V | *ερριπτο* hier V: hinter *τις* P^2 P^3, *ηρπετο* N hinter *γης* | *χαμαι* V: > N P^2 P^3 | 2. *συνεχ πυρ.* V P^2: *πυρ. συνεχ.* N P^3 | *νεανισκος* N P^2 P^3: *νεανιας τις* V | 3. *οχλον πολυν* N P^2 P^3 L (*turbam sequentem*): *ο οχλος ο εστικως* V | 4 *προς αυτον* N P^2 P^3: *ο νεανιας* V | *θεου* V N: *ου συ κηρυττεις* + P^2 P^3 | 5. *καταχ.* V B: *κειμενον* N P^2 P^3 | *εξ αυτου* V: *αυτου* N P^3, > P^2 | 6. *Ιω.* V P^2: *ο* × N P^3 | *Ιησου Χρ.* V B L (× *domini nostri*): *του θεου* N P^2 P^3 | 7. *κηρυξ — ειμι* V cf L (*licet indignus servus sum et apostolus*): *ου εγω κηρυττω* N, *ου ειμι εγω και κηρυττω* P^2 P^3, > B | 8. *υγιαινων* V P^2 P^3: *υγιης* N m^2, > c m^1 | *ανεστη* hier V: hinter *νοσων* N P^2 m^2, ebenda *αναστας* ohne *και* c m^1 | 9 *κ. εποր. — αυτου* N P^2 B (+ *δοξαζων τον θεον*): *illi gratias agebat* L, > V | 10. *δε* V P^2: + *ο* B, *ουν ο* N | 11. *αυτον της χ.* V N: *τον Ιω. εκ της χ.* P^2, *της χ. αυτου* B | *και ειπεν*: nur V + *αυτον* (sic) | *ο δε ειπεν — εφη* N P^2: > V L B (aber m^1 c haben *νομικε* in der nächsten Antwort des Joh. l. 13) | 12. *Ιω.* V P^2 B L: > N | 13. *ο — αγαπη* P^2 P^3 N (aber *η αγ.*): *ο θ. αγ. εστιν* V, *η αγ. ο θ. εστιν* B | *εχει τ. θ.* V P^2 B: *τ. θ. εχει* N | 14. *ο δε* N P^2: *ειπεν δε* V, *λεγει ο* B | *ει — θεον* P^2 P^3 N (*εχει* hinter *θεον*) cf L: > V B | 15. *δη ουν* V cf L (*ergo* im Vordersatz u. hier *nunc*): *ουν* P^2 B, > N P^3 | *του θ.* V c m^1: *δια του θεου* hinter *αγαπην* N P^3, ebenda *δια τον θεον* P^2, > m^2 L | 16 *φαγωμεθα* V N P^3: *φαγωμεν* P^2 B | *πιωμεν* V: *πιωμεθα* N P^2 P^3, *και π. υδ.* > B | 17. *ειη* V c m^1: *η* N, *ει* P^2 P^3 | *κ. ευθεως Ιω.* V P^2: *ο δε Ιω. ευθεως* N, *ευθεως ουν ηκ. αυτω Ιω.* B

γυνὴ αὐτοῦ ἀκούσασα τῆς διδαχῆς Ἰωάννου ᾐτήσατο αὐτόν, δοῦναι αὐτῇ τὴν ἐν Χριστῷ σφραγῖδα· ἦν γὰρ λεπρὰ ὡσεὶ χιὼν ὅλη. καὶ δεξαμένη τὴν ἐν Χριστῷ σφραγῖδα παρὰ Ἰωάννου εὐθέως ἐκαθαρίσθη τῆς λέπρας. ἰδὼν δὲ Φίλων ὁ ἀκαμπὴς καὶ φιλόνεικος προσέπεσεν τῷ Ἰωάννῃ καὶ εἶπεν πρὸς αὐτόν· διδάσκαλε, τὸν θεὸν ὃν σὺ κηρύττεις, μὴ ὀργισθῇς ἐπὶ τῷ σῷ θεράποντι περὶ πάντων τῶν λόγων τῶν λαληθέντων ὑπ᾽ ἐμοῦ εἰς ἀντίλεξιν τῆς σῆς διδασκαλίας, ἀλλὰ δὸς καὶ ἐμοὶ τὴν ἐν Χριστῷ σφραγῖδα. καὶ κατήχησεν αὐτὸν καὶ ἐβάπτισεν εἰς ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος. καὶ ἐμείναμεν παρ᾽ αὐτῷ τὴν ἡμέραν ἐκείνην.

Τῇ δὲ ἐπαύριον ἐξελθόντων ἡμῶν ἀπὸ τοῦ οἴκου Φίλωνος ἤλθαμεν παρὰ τὴν θάλασσαν, καὶ συνήχθησαν ὄχλοι πολλοὶ διδασκόμενοι ὑπὸ Ἰωάννου καὶ ἦσαν ἡδέως ἀκούοντες αὐτοῦ. παρεγένοντο δὲ καὶ οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος, οἵ ποτε πορευθέντες πρὸς Κύνωπα διὰ τὴν ἐρήμωσιν τοῦ ἱεροῦ τὴν γεναμένην ὑπὸ Ἰωάννου. πειράζων δὲ εἷς ἐξ αὐτῶν ἔλεγεν· διδάσ-

1. *ακουσασα — δεξαμενη* l. 3 V (aber *αυτω* vor *δουναι*) L: *ην λεπρωσα* (*λεπρωδης* N) *ως* (*ωσει* P^2) *χιων. φαγοντων δε ημων και πιοντων ηρξατο διδασκειν παντας* (statt *π.* N *ο Ιωαννης*) *τους εν τω οικω, και παλιν ο Φιλων* (*ο δε Φ. παλιν* N) *εν φιλονεικια εγενετο προς τον Ιωαννην. η ουν γυνη του Φιλωνος εδεξατο* N P^2 P^3, abkürzend B | 3. *παρα Ιω.* V: > N P^2 P^3 (diese *και* vor *ευθεως*) L | 4. *ακαμπης* V P^2 P^3 B: *ακαμπτης* N | 5. *και ειπεν — διδασκ.* N P^2 P^3 cf B (m^2 > *διδασκ.*, c m^1 m^2 *αυτω*) L (*dixit: magister bone*): *λεγων* V | 6. *ον συ* V N: *ον* P^2 P^3, *σου ον* B | *μη οργ.* V N (*οργισθεις*) P^3 B: > P^2 (dafür hinter *διδασκαλιας* l. 8 *μη μνημη σοι παραδραμη*) | *επι*: > nur V | *τ. σω θεραποντι* V N P^2: *τ. σω δουλω* P^3, *εμοι* v, *εμε* c m^1, > m^2 | 7. *περι — υπ᾽* N P^2 P^3 (so auch c m^1, nur *λαληθ.* hinter *εμου*): *επι πασι* (*τοις λογοις* + m^2) *τοις λαληθησιν* (*-εισιν* m^2) *παρ᾽* (*υπ᾽* m^2) V m^2 | 8. *εις* V B: *προς* N P^2 | *και εμοι* V: *μοι* N P^2 L, *εμοι τε και τη δουλη σου τη συμβιω μου* (*εμη* m^2) B | 9. *και κατ. αυ. και* V: *και κατηχησας αυ.* P^2, *κατηχησας ουν* B, *ο δε Ιωαννης διδαξας και κατηχησας αυ.* N | *εις ονομα — πνευματος* N P^2 L: > V | 11. *την ημ. εκ* N P^2: *τη ημερα εκεινη* V, *ημερας τινας* B, den Satz > L | 12. *τη δε* N P^2 L: *και τη* V | *εξελθοντων — ηλθαμεν* P^2: *εξελθοντες απο — ηλθομεν* N cf B L, nur *απηλθαμεν* V | 14. *ησαν — αυτου* P^2 N (*αυτου ακ.*): > V L B | 15. *ποτε* N P^2 cf L (*qui prius congregati erant*): > V | 16. *ιερου* V N: *ναου* P^2 | *γεναμ. υπο* V: *γινομενην δια* P^2, *γενομενην παρα* N | 17. *πειραζων δε τον Ιω. εις εξ αυτων ελεγεν* V cf L (*et unus eorum tentavit Joannem dicens*): *λεγει ουν εις εξ αυ. πειραζων* B, *και επειραζον τον Ιω. και ελεγεν αυτω εις εξ αυτων* N P^2

καλε, υἱὸν ἔχω καὶ χωλὸς ὑπάρχει ἀμφοτέροις τοῖς ποσίν· τοῦτον ποίησον ὑγιῆ, καὶ πιστεύσω κἀγὼ τῷ ἐσταυρωμένῳ. ὁ δὲ Ἰωάννης εἶπεν πρὸς αὐτόν· ἐὰν πιστεύσῃς τῷ ἐσταυρωμένῳ, ἔσται ὁ υἱός σου ὑγιής. ὁ δὲ εἶπεν· πρῶτον ποίησον ὑγιῆ καὶ οὕτως πιστεύω. ὁ δὲ ἀπόστολος εἶπεν πρὸς αὐτόν· μὴ πείραζε τὸν ἀπείραστον καὶ μὴ βλασφήμει κακῶς· ἐν ὀνόματι τοῦ ἐσταυρωμένου ἔσῃ καὶ σὺ κυλὸς ἀμφοτέροις τοῖς ποσίν. καὶ εὐθέως ἐλύθησαν αὐτοῦ οἱ πόδες, μὴ δυνάμενος μετελθεῖν. αὐτοῦ δὲ κειμένου χαμαὶ εἶπεν Ἰωάννης τῷ ἑταίρῳ αὐτοῦ· ἄπελθε, δεῖξον τὸν υἱὸν αὐτοῦ τῷ ἐμῷ μαθητῇ. καὶ προσκαλεσάμενός με εἶπεν πρός με· τέκνον Πρόχορε, ἄπελθε πρὸς τὸν υἱὸν τοῦ ἱερέως τοῦ Ἀπόλλωνος καὶ εἰπὲ αὐτῷ· εἶπεν Ἰωάννης· ἐν ὀνόματι τοῦ υἱοῦ τοῦ θεοῦ, τοῦ σταυρωθέντος ἐπὶ Ποντίου Πιλάτου τοῦ ἡγεμόνος, ἐλθὲ πρός με. καὶ ἐπορεύθην καὶ ἐλάλησα αὐτῷ κατὰ τὸν λόγον Ἰωάννου, καὶ εὐθέως ἀνέστη καὶ ἠκολούθησέν μοι, καὶ ἐλθόντες πρὸς Ἰωάννην, ἔπεσεν εἰς τοὺς πόδας αὐτοῦ καὶ προσεκύνησεν αὐτόν. ἰδὼν δὲ ὁ πατὴρ αὐτοῦ ὅτι ὁ υἱὸς αὐτοῦ ἐγένετο ὑγιής, ἔκραξεν φωνῇ μεγάλῃ

1. *υιον εχω* N P^2 B L: *υιος εστιν μοι* V | *χωλος υπ.* V: *εστι χωλος* B, *αυτος χωλος* N P^2 (dieser *χωλος* hinter *τοις ποσιν αυτου*) | 2. *και πιστευσω — υγιη* l. 4 N P^2 (dieser l. 3 *πιστευσεις*, l. 4 *ποιησον αυτον πρωτον υγιει*) B (*Χριστω* statt *εσταυρ.* l. 3, *φησιν* statt *ειπεν* l. 4, *αυτον* vor *υγιη* l. 4) L: > V | 5. *πιστευω* V N: *πιστευσω* P^2 B L | *αποστολος* V m^1: *Ιωαννης* N P^2 c m^2 L | *πρ. αυτον* V: *αυτω* vor *ο απ.* B. *cui* L, > N P^2 | 6. *μη* vor *βλασ.* V B: > N P^2 | *εν ον. τ. εστ.* V: *αλλ'* × N P^2 P^3, *εν γαρ τω ον. Ιησου Χρ.* B (c *γαρ* hinter *ον.*), *et ideo* L | 7. *κυλος* V: *κυλλος* c, *κολλος* m^1 m^2, *κοιλλος* P^2, *χωλος* N | 8. *αυτου* hier V: hinter *ποδες* N P^2, *τα αρθρα των ποδων αυτου* B | *μη* V cf L: *μηκετι* N P^2 | *μετελθειν* V L (*ambulare*): *τον τοπον εφ' ον* (*ων* P^2) *επεσεν* + N P^2 | 9. *αυτου δε κειμ.* V: *και αυτου οντος* N P^2, > B L | *εταιρω αυ.* N: *ετερω αυ.* V P^2, *αλλω ιερει* B, *uni* L | 10. *τω* N P^2 B: > V | 11. *με* N P^2: *Ιωαννης* + V | *προς με τ. Προχορε* V L: > N P^2 | *προς — αυτω* V L: *ειπε· υιε του ιερεως του Απ.* N, *και ειπε τω υιω του μηρεως του Απ.* P^2. Der Spottname *μηρευς* oder richtiger *μιερευς*, einmal auch *μὴ ἱερεύς* statt *ιερευς* findet sich nicht nur in P^2 von hier an häufig, sondern auch in v consequent in dem Abschnitte vom Sohn des Zeuspriesters | 12 *Ιωαννης* V P^2: *ο μαθητης του Χρ.* + N, *ο αποστολος του Χριστου* × B, *magister meus* + L | 13. *τ. υιου τ. θ.* N P^2 L: *Ιησου Χρ.* × V, > B | 14. *τ. ηγεμονος* V P^2 L: > N, mehreres > B | 16. *ελθοντες* N P^2: *ελθοντων ημων* V | *εις — αυτου* V L: > N P^2 | 17. *δε* V B L: *ουν* N P^2 | *πατ. αυτου* V c m^1 cf L (nur *pater*): *πατ. του παιδος* N P^2 m^2 | 18. *εγενετο* V P^2 B: *γεγονεν* hinter *υγιης* N | *φωνη μεγ.* N c: *μεγαλη* (*τη* + P^2) *φωνη* m^1 m^2 P^2, *φωνην μεγαλην* V

πρὸς Ἰωάννην λέγων· ἐλέησόν με μαθητὰ τοῦ εὐλογημένου θεοῦ. καὶ ἐγγίσας Ἰωάννης καὶ σφραγίσας αὐτὸν τρίτον, εὐθέως ἀνέστη καὶ προσέπεσεν τῷ Ἰωάννῃ, καὶ ἐβάπτισεν αὐτούς· καὶ εἰσήγαγεν ἡμᾶς ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ ἐμείναμεν παρ' αὐτῷ τὴν ἡμέραν ἐκείνην.

Καὶ τῇ ἑξῆς ἤλθαμεν ἐπὶ τῇ στοᾷ τῇ καλουμένῃ Δομετίᾳ, καὶ συνήχθησαν ὄχλοι πολλοὶ καὶ ἐδιδάσκοντο ὑπὸ Ἰωάννου. καὶ ἦν ἐκεῖ ἄνθρωπος ὑδρωπικός, ἔχων ἐν τῇ ἀσθενείᾳ ἔτη ἑξκαίδεκα, καὶ μηκέτι δυνάμενος ἐκ τοῦ τόπου αὐτοῦ μετελθεῖν μήτε δὲ λαλιὰν ἐπιφέρειν ἐκ τοῦ στόματος αὐτοῦ. οὗτος διὰ νεύματος αἰτήσας μέλαν καὶ χάρτην διαχαράττει δίστιχον πρὸς Ἰωάννην λέγων· ἀπόστολε τοῦ Χριστοῦ Ἰωάννη, ὁ ταλαίπωρος ἐγὼ δέομαί σου, ἐλέησόν με ἀπὸ τῆς ἀσθενείας μου. λαβὼν δὲ τὸ γραμματεῖον αὐτοῦ Ἰωάννης καὶ ἀναγνοὺς πάνυ ἐθλίβη ἐπ' αὐτῷ. καὶ πάλιν Ἰωάννης ἔγραψεν βιβλίον πρὸς αὐτὸν

1. *λεγων* V P^2 B: $>$ N | *ευλογημ.* V N P^2 L: *ευσπλαγχνου* B | 2. *Ιω. και σφραγ.* N P^2: *αυτω εσφραγισεν* V cf B (*σπλαγχνισθεις δε ο Ιω. εγγισας* [*αυτω* + m^2] *εσφραγισεν*) | *αυτον* V P^2 B: $>$ N | *ευθεως* N P^2: *και* × V B | 3. *και προσεπεσεν* N P^2 P^3 (*– σον*): *παραχρημα δε προσεπεσαν* V | *εβαπτισεν* V N P^3: *ευθεως* × P^2 | *αυτους* V cf L B: *εις* (*το* + P^3) *ονομα* (*του* + P^3) *πατρος και* (*του*) *υιου και* (*του*) *αγιου πνευματος* + N P^2 P^3 | 4. *εισηγαγεν* V: *εισηνεγκεν* N P^2 P^3 | *εν τω οικω* V: *εις τον οικον* N P^2 P^3 | 5. *την ημ. εκ.* N P^2 (dieser vor *παρ'*) P^3 L (*die illo*): $>$ V | 6. *τ. εξης ηλθαμεν* V cf L B (*εν μια δε των ημερων ηλθομεν*, nur m^1 *ελθοντων ημων*): *τ. επαυριον προελθοντες* (*εξελθοντες* P^2) *ηλθομεν* N P^2 P^3 | *επι* V N P^2 P^3 c: *εν* m^1 m^2 L | *Δομετια* V N P^2 P^3 c m^1: *δοματια* m^2, *Domitiani* L | 7. *και — πολλοι και* V N P^3 cf B L (dieser $>$ *κ. εδιδ. υπο Ιω.*): nur *οι και* P^2 | 8. *υδρωπικος — εξκαιδεκα* P^3 N (*δεκα ετη*) P^2 (*ετι δεκα*) B (*ετη εξ* vor *εν τη ασθ.*) L (*decem et septem*): *υδροπα εχων ετη ιζ* V | 9. *δυναμενος — αυτου* V: *του αυτου τοπου δυναμενος* N P^2 P^3 | 10. *δε λαλιαν* V P^2 P^3: *λαλια* N | *επιφερειν* V: *εξερχεσθαι* N P^2 P^3 | *εκ* V P^2 c: *δια* N P^3 m^1 m^2 | *ουτος — αιτησας* N P^2 (+ *τροπω* vor *δια*) P^2 B (m^2 *αιτησαμενος*) L: *αιτεσαμενος ουν* V | 11. *διαχαρ. διστ.* N P^2 P^3 B (*διαχαρασσει*, m^2 *στιχον*): *γραφη* V *scripsit* L | *προς Ιω.* N P^3 B: *πρ. τον Ιω.* V, *τω Ιωαννη* P^2 | 12. *λεγων* V m^1 m^2: *ουτως* N P^2, *εχον ουτως* c (P^3?) | *αποστολε* V L: *τω αποστολω* N P^2 P^3 B | *του* V N P^2: $>$ P^3, *και μαθητη του* B (m^1 $>$ *και*) | *Ιωαννη* V L m^2 (*—νης*): $>$ N P^2 P^3 c m^1 | 13. *εγω δεομαι* V P^2 L: *εγω* N P^3 c, $>$ m^1 m^2 | *σου* V L: $>$ N P^2 P^3 B | 14. *το γραμμ. αυτου* V: *τον χαρτην* P^2, *το βιβλιον* P^3 N (dieser hinter *Ιω.*), *epistolam* L, $>$ B | *πανυ εθλιβη* V: *πανυ ελυπηθη* N P^2 P^3, *εσπλαγχνισθη* B, *gavisus est* L | 15. *αυτω* V P^3: *αυτον* N P^2 B | *και παλιν — ουτως* P^2 N ($>$ *προς*

περιέχον οὕτως· τῷ ἀνθρώπῳ, τῷ τὸ πάθος ἔχοντι τοῦ ὕδρωπος, Ἰωάννης ὁ ἀπόστολος τοῦ υἱοῦ τοῦ θεοῦ· ἐν ὀνόματι πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, ἀπολέλυσαι τῆς ἀσθενείας σου. καὶ λαβὼν ὁ ὑδρωπικὸς τὸ βιβλίον καὶ ἀναγνοὺς εὐθέως ἀνέστη, μὴ ἔχων ἐν ἑαυτῷ αἰκίαν τῆς βασάνου. οἱ δὲ ὄχλοι ἰδόντες ὃ ἐποίησεν Ἰωάννης, περισσοτέρως προσέθεντο τοῦ ἀκούειν τὸν λόγον αὐτοῦ. ὁ δὲ ἄνθρωπος ὁ θεραπευθεὶς προσέπεσεν τῷ ἀποστόλῳ καὶ παρεκάλει αὐτὸν λέγων· δός μοι τὴν ἐν Χριστῷ σφραγῖδα. καὶ ἐβάπτισεν αὐτὸν εἰς ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος.

Καὶ προβάντων ἡμῶν ἐκεῖθεν, ἰδοὺ ἄνθρωπος ἀπήντησεν ἡμᾶς ἀποσταλεὶς παρὰ τοῦ ἡγεμόνος, καὶ ἐγγίσας αὐτῷ Ἰωάννης, προσέπεσεν τῷ ἀποστόλῳ λέγων· ἄνθρωπε τοῦ θεοῦ, ὁ ἡγεμὼν λέγει· ταχύνας σπεῦσον καὶ βοήθησον ἡμῖν. ἦν γὰρ ἡ γυνὴ τοῦ ἡγεμόνος ἐν γαστρὶ ἔχουσα καὶ ὁ καιρὸς ἔφθασεν τοῦ τεκεῖν αὐτὴν καὶ οὐκ ἔτικτεν. ὡς δὲ ἦλθεν Ἰωάννης ἐν τῇ οἰκίᾳ τοῦ ἡγεμόνος, εὐθέως ἔτεκεν ἡ γυνή. εἶπεν δὲ Ἰωάννης πρὸς τὸν ἡγεμόνα· τίς ἡ αἰτία, δι' ἣν μετεστείλω ἡμᾶς;

αυτον, dann *περιεχοντα*) P^3 (*ο Ιω.*, dann > *βιβλιον πρ. αυτον*, dann *περιεχοντα*): *και γραφη Ιωαννης επ' αυτον περιεχοντα τον τυπον τουτον* V, *και αντεγραψε* (*αυτω* + m^2) *λεγων* B, *et scripsit ad eum* L | 1. *τω — υδρωπος* N P^2 P^3 B (*εχοντι* am Ende, *τω ανθρ.* > m^2): *τω παθει τω υδροπος εχοντι* V | 2. *εν ον. π. κτλ.* V N B (*του πατρος κτλ.*): *προσταττω εν ον. του πατρος κτλ.* P^2 | 4. *το βιβλιον* V L (*epistolam*): > N P^2 B | 5. *εν εαυτω* V B L: > N P^2 | *αικιαν* N L (*laesionem*): *αιτιαν* V P^2 B | *βασανου* V: *ασθενειας* P^2 N (+ *αυτου*), *νοσου* B | 7. *αυτου* hier V P^2: vor *τον λ.* N | *δε* N P^2: *ουν* V, *et* L | 8. *προσεπεσεν* V L: *ελθων* × N P^3 B | *αποστολω* V c m^1: *Ιωαννη* N P^2 L m^2 | *και παρ. αυτον* P^2 N (> *αυτον*): *και ηξιου* (*βαπτισθηναι αυτον*) c, *κ. ηξ.* (*φωτισθηναι υπ' αυτου*) m^1, *αξιων* (*αυτον φωτισθηναι*) m^2, > V | *δος* V P^2: *διδασκαλε* × N | *μοι* N P^2: *καμοι* V | 9. *εβαπτισεν αυτον* V L: *διδαξας* (*και κατηχησας* + P^2) *αυτον εβ.* N P^2, *κατηχ. δε και αυτον εβ.* B | *εις ον. — πνευματος* N P^2 L: > V, *εν αυτη τη ημερα* B | 11. *ιδου* V P^2 P^3 L: > N | *ανθρωπος* hier V: hinter *ημας* P^2 P^3 N | 12. *ημας* P^2 P^3: *ημιν* V N | *αυτω — λεγων* V: *τω Ιωαννη ειπεν αυτω* N P^2 P^3, *et dixit ad Joannem* L | 14. *λεγει* N P^2 P^3: *ειπεν* V | *και* V P^2 P^3: > N | *βοηθησον*: nur P^2 *βοηθει* | *γαρ* N P^2 P^3 L: *δε* V | 15. *τ. ηγεμ.* N P^2 P^3 L: *αυτου* V | *εφθασεν* V P^3 (vor *ο καιρος*) P^3 (hinter *αυτην*): *επεφθακει* N (> *τ. τεκειν αυ.*) | 16. *Ιω.* V N P^2 (hinter *δε*, dann *εισηλθεν* hinter *ηγεμ.*): *ο Ιω.* P^3 | 17. *τη οικια* N P^2 P^3: *τω οικω* V | *γυνη*: nur V + *αυτου*

εἶπεν δὲ ὁ ἡγεμών· ὅπως εὐλογηθῇ ὁ οἶκός μου διὰ σοῦ. καὶ εἶπεν πρὸς αὐτὸν Ἰωάννης· ἐὰν πιστεύσῃς εἰς Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ, ἔσται σου πᾶς ὁ οἶκος εὐλογημένος. εἶπεν δὲ ὁ ἡγεμών· καὶ ἐπίστευσα καὶ πιστεύω εἰς τὸν ἀποστείλαντά σε θεὸν ἐπὶ σωτηρίᾳ πάντων τῶν ἀνθρώπων τῶν κατοικούντων ἐν τῇ νήσῳ ταύτῃ. καὶ διδάξας αὐτὸν τὰ περὶ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος ἐβάπτισεν αὐτόν. παρεκάλει δὲ καὶ ἡ γυνὴ αὐτοῦ ὥστε φωτισθῆναι αὐτήν. καὶ εἶπεν πρὸς αὐτὴν Ἰωάννης· οὐ δύνασαι ἄρτι φωτισθῆναι, ἕως οὗ πληρώσῃς τὰς τεσσαράκοντα ἡμέρας. ὁ οὖν ἡγεμὼν προσήνεγκεν χρήματα πολλὰ τῷ Ἰωάννῃ λέγων· δέξαι ταῦτα καὶ εὐλόγησόν μου τὸν οἶκον. καὶ εἶπεν αὐτῷ Ἰωάννης· οὐ δυνήσεταί σου ὁ οἶκος διὰ τούτων εὐλογηθῆναι, ἀλλὰ ἄπελθε καὶ διάδος πτωχοῖς ταῦτα, καὶ ἔσται ὁ οἶκός σου εὐλογημένος. καὶ ἐμείναμεν ἐν τῷ οἴκῳ τοῦ ἡγεμόνος ἡμέρας τρεῖς. καὶ ἐξελθόντες ἐκεῖθεν ἤλθαμεν ἐν τῷ οἴκῳ Μύρωνος, καὶ συνήχθησαν ὄχλοι πολλοὶ καὶ ἐδιδάσκοντο ὑπὸ Ἰωάννου.

1. *ο ηγεμων* V L cf B (*ο δε ηγ. εφη*): *προς τ. Ιωαννην* + N P^2 (> *τον* u. vorher *ο*) | *και — Ιωαννης* V cf L (*cui Joannes*) B (*λεγει αυτω ο Ιω.*): *ειπεν δε Ιω. προς τον ηγεμονα* N P^2 | 3. *σου πας* N P^2: *σου* V, *tu et (domus tua)* L | *ειπεν δε* N P^2 cf L (*gaudens autem praeses salute facta ex adventu Joannis dixit illi*): *και ειπεν* V, *ο δε φησι* B | 4. *και επιστ.* N P^2 B: *επιστ.* V L | 5. *θεον* V P^2 B L: *ενταυθα* + N P^3 | *σωτηρια*: nur V *—αν* | *παντ. τ. ανθρ.* V B: *παντ. ανθρ.* N P^2, *των ανθρ.* P^3 | *των κατοικ. κτλ.* V P^2 P^3: *κατοικ. κτλ.* N, > B | 6. *αυτον* V L: *απο των θειων γραφων* + N P^2 (P^3?) | 7. *παρεκαλει* V N: *παρεκαλεσεν* P^2, *παρακαλουσης* B | 8. *ωστε φωτ. αυτην* N P^2: *ωστε αυτη φωτ.* V, *βαπτισθηναι* B | *και ει. πρ. αυτην* V: *ειπεν δε* N P^2 | 9. *ου — φωτισθηναι* V B (nur *βαπτισθηναι*): *ουκ εστι(ν) δυνατον* N P^2 (+ *βαπτισθηναι σοι*) | *ου̃* N P^2 P^1 c m^1: *ουν* V, > m^2 (darauf *πληρωσεως ημερων τεσσ.*) | *πληρωσης* V N: *—σεις* P^2 P^3, *—θωσιν* c m^1 | *τας* V P^3: > N P^2, auch B > den Artikel | 11. *τω Ιω.* V L B (vor *χρηματα*): *αυτω* vor *χρημ.* N P^2 | *δεξαι* V: *κυριε* × N P^2, *πατερ* + B | 12. *και ειπεν αυτω* V: *ειπεν δε* N P^2, *απεκριθη αυτω* B, *cui Jo. dixit* L | *δια τουτων* hier V: hinter *ευλογ.* P^2 P^3, *δια χρηματων* B, > N | 13. *αλλα — διαδος* V P^2 P^3 B (*αλλ'*) L: *ει μη διαδωσης* N | *ταυτα* V: *αυτα* vor *πτωχοις* N P^2 P^3 B, *eam* (sc. *pecuniam*) L | 14. *εσται* V P^2 P^3 L: *ουτως* × N B | *και εμ.* V L: *εμ. δε* N P^2 P^3 B (doch *εμειναν* Amphil.) | *εν — ηγεμονος* V N L: *εκεισε* B, P^2 geht sofort zu *εμειν. δε* p. 117, 1 über | 15. *ημ. τρ.* V N: *τρ. ημ.* B | *και εξ. εκειθεν* V B L: *τη δε επαυριον* N P^3 | *ηλθαμεν* V: *—ομεν* N P^3 B | 16. *και συν. οχλοι πολλοι* V N P^3 m^2: *και συναχθεντων πολλων οχλων* c m^1 | *και εδιδ.* N P^3 m^2: *διδασκο-*

Ἐμείναμεν δὲ ἐν Φορᾷ τῇ πόλει ἔτη τρία. καὶ μετὰ ταῦτα ἐξήλθαμεν ἐκ τῆς πόλεως ἐκείνης καὶ εἰσήλθαμεν εἰς Μυρινοῦσαν, ἥτις ἀπεῖχεν τῆς πόλεως ἐκείνης τῆς λεγομένης Φορᾶς μίλια πεντήκοντα. αὕτη δὲ ἦν πόλις μικρὰ καὶ κατείδωλος πάνυ καὶ ἱερὰ πολλὰ ἔχουσα τῶν λεγομένων παρ᾽ αὐτοῖς ψευδωνύμων θεῶν· ἦν δὲ καὶ ποταμὸς διαρρέων κύκλῳ τῆς πόλεως. καὶ εἰσελθόντων ἡμῶν ἐν τῇ πόλει οὐδεὶς ἐπεγίνωσκεν ἡμᾶς. ἦν δὲ τοῦ μηνὸς Λώου νεομηνία παρ᾽ αὐτοῖς. ἐλθόντων δὲ ἡμῶν ἐν τόπῳ καλουμένῳ Πιαστηρίῳ, ἦσαν ἐκεῖ οἱ πρῶτοι τῆς πόλεως ἔχοντες δώδεκα παῖδας σεσιδηρωμένους καὶ κειμένους ἐπὶ τῆς γῆς. ὁ οὖν Ἰωάννης ἐπερώτησέν τινα τῶν παρεστώτων

μενοι V, *εδιδασκοντο* c m^1. Von hier an B ganz abweichend über den Abschied von Phora. Nach einer Doxologie, welche m^2 >, m^1 kürzer giebt als c u. Paris. 523, folgt in m^1 c die Ueberschrift: *περι του φαινομενου τοις την πολιν οικουσιν ως λυκου· ην δε ουτος ακαθαρτος δαιμων* (*δαιμον* m^1). In Par. 523: *περι της τελουμενης θυσιας εν μυρηνουση τη πολει*. In m^2 folgt zunächst das Kapitel von Sosipatros und Prokliane, dann erst das hiesige mit der Ueberschrift *τα περι του λυκου του δαιμονος*. Hier tritt auch m^3 wieder ein (s. oben zu p. 110, 8 n. Amphil. p. 45. 48 extr.) mit den Worten *μειναντες δε εν τη πολει Φθορα ετη τρια, εκειθεν απηραμεν και ηλθομεν εις μυρρινουσαν πολιν ετεραν απεχουσαν της φθορας πολεως μιλια πεντηκοντα* | 1. *Φορα* (Tischend. las auch hier *φρορα* s oben p. 57, 1) V cf L *(foro civitatis)*: *Φθορα* hinter *πολει* N P^2 P^3 m^3, der Name fehlt in B (auch Par. 523) | *ετη τρ.* V m^3: *τρ. ετη* N P^2 P^3 | *κ. μετα τ.* V L: *πληρωθεντων δε των τριων ετων* N P^2 P^3 (> *των*), über m^3 vorher | 2. *εξηλθαμεν εκ* V P^2: *εξηλθομεν απο* N P^3 | *εισηλθαμεν* V: *ηλθαμεν* P^2, *ηλθομεν* N P^3 m^3 | 3. *της πολ.* V cf m^3 vorher: *εκ* × N P^2 P^3 | *εκ. τ. λεγομ. Φορας* V: nur *Φθορας* N P^2 P^3 | 4. *πεντηκ.* hier V P^2 m^3: vor *μιλια* N P^3 | *πολις* V cf L *(et haec civitas populosa erat)*: > N P^2 P^3 | *και* vor *κατει.* > nur N | 5. *τ. λεγομενων* > nur N | *παρ᾽ αυτοις* V L (der übrigens sonderbar übersetzt): > N P^2 P^3 | 6. *δε και — πολεως* V: *δε κυκλω της πολεως ποταμος* N P^3 P^3, *et civitatem in circuitu alluebat flumen* L, *αμφιρρυτος δε ποταμω κυκλω περιγραφομενη* m^3, aber hier und nachher ganz andere Stellung | 7. *και εισ.* V: *εισ. ουν.* N P^2 L *(dum ergo)*, *εισ. δε* P^3 | *ημας* V N P^2 L: *ημων* vor *επεγ.* P^3 | 8. *Λωου* N P^2 P^3 m^3 B (vor *μηνος*): > V, den Satz > L | *παρ᾽ αυτοις* V: > N P^2 P^3 B | 9. *καλουμενω*: nur P^2 *λεγομενω* | 10. *εχ. δωδεκα π.* V P^2 P^3 L: *εχ. δεκα π.* N, *δωδ. π. κατεχοντας* m^3 (vorher wie B *ευρομεν*), *και παιδα* B | *σεσιδηρ.* N P^3 V (*σεσηδ.*) P^2 (*σηδερ.*) c (*--νον*): *κατεσφιγμενους παντοθεν σιδηροις* m^3, *σιδηροδεσμιον* m^1 m^2 | *κ. κειμενους* V: *κειμενον* c m^1, > N P^2 P^3 m^2 m^3 L | 11. *επι τ. γ.* V N P^2 B: > P^3 m^3 L | *τ. παρεστ.* N P^2 P^3 L: *τ. εστωτων* m^3, *τ. εστηκοτων* B, *εξ αυτων* vor *τινα* V

λέγων· τίς ἡ αἰτία τῶν σεσιδηρωμένων τούτων; ὁ δὲ εἶπεν· κατὰ νεομηνίαν ἑκάστου μηνὸς κρατοῦνται δώδεκα παῖδες ἄφθοροι καὶ προσφέρονται θυσίᾳ τῷ εὐεργέτῃ Λύκῳ. καὶ εἶπεν αὐτῷ Ἰωάννης· καὶ τίς ἐστιν ὁ Λύκος οὗτος, ἤθελον μαθεῖν κἀγώ. καὶ εἶπεν αὐτῷ ὁ ἀνήρ· περὶ τετάρτην ὥραν τῆς ἡμέρας ἔρχονται οἱ ἱερεῖς καὶ λαμβάνουσιν τοὺς παῖδας καὶ ἀπέρχονται ἀνενέγκαι αὐτοὺς θυσίαν, καὶ ἀκολουθεῖ ὄχλος πολύς. εἰ οὖν βούλει, καὶ αὐτὸς ἀκολούθησον, καὶ θεωρεῖς τὸν Λύκον καὶ τὴν θυσίαν τὴν γινομένην αὐτῷ. καὶ εἶπεν Ἰωάννης τῷ ἀνδρί· ἄνθρωπε, θεωρῶ σε ἄνδρα κεκοσμημένον· ἐξόν μοι ἐστὶν ξένῳ ὄντι ἰδεῖν τὸν Λύκον. ὁ δὲ εἶπεν· καὶ ξένοις καὶ ἐνθαδίοις καὶ πᾶσιν φαίνεται. καὶ εἶπεν αὐτῷ Ἰωάννης· δεῦρο, ἀπέλθωμεν ἐν τῷ τόπῳ ἐκείνῳ, ὅτι ποθῶ ἰδεῖν αὐτόν. καὶ ἐὰν δείξῃς μοι αὐτόν, ἔχω μαργαρίτην ἀτίμητον, ὃς τιμῇ οὐχ ὑποπίπτει, καὶ δίδωμί σοι αὐτόν. ἀκούσας δὲ ταῦτα ὁ ἀνὴρ εἰς προθυμίαν ἦλθεν τοῦ γνωρίσαι τὸν τόπον τῷ Ἰωάννῃ καὶ δεῖξαι αὐτῷ τὸν Λύκον. ἐλθόντων δὲ ἡμῶν ἐν τῷ τόπῳ εἶπεν ὁ ἄνθρωπος

1. *λεγων* V B: > N P^2 m^3 m^3 L | *τουτων* V P^2 P^3: *παιδων* × N | *ειπεν*: nur V + *αυτω* | 2. *εκαστου* V B (P^3?) cf L: *του* N P^2 | *δωδεκα*: *δεκα* N | *αφθοροι* P^2, vor *παιδες* N P^3 cf B (*παις αφθορος εφηβος*): > V L (> auch *παιδες*) | 3. *θυσια* N P^3 B L (*in sacrificium*): *θυσιαι* V, > P^2 | *λυκω* N P^2 P^3 B m^3: *τω λυκω* vor *τ. ευ.* V | *και ειπ. αυτω* V: *ειπε(ν) δε* N P^2 P^3 B, *dixit* L | 4. *ουτος* hier N V (geschr. *τουτος*): vor *ο λ.* P^2 (P^3?) B | 5. *καγω* V: > alle andern | *και ειπ. αυ.* V: *ειπεν δε* N P^2 m^2, *και λεγει* c m^1 | 6. *και — παιδας* N P^2 P^3 cf B (*λ. τον παιδα*, nur m^1 *λαβοντες*): > V, mehrere > L | 7. *ανενεγκαι* V P^2: *—κειν* N P^3 | *αυτους*: nur V *αυτοις* | *και ακ. ο. π.* V: *και ακολουθουσι παντες* c, *κ. παντες ακ. τουτοις* m^1 m^2, *ακολουθουντος αυτοις* (*αυτους* N) *του οχλου* N P^2 P^3 cf L | *ουν* hier V N B: hinter *βουλ.* P^2 P^3 | 8. *και αυτος* V P^2 P^3 m^1: *αυτος* N, > c m^2 | *ακολουθησον* V: *ακολουθησαι* N P^2 P^3 B | *κ. θεωρεις* V: *θεωρεις* P^2, *θεωρεις και* B (P^3?), *και θεωρησαι* N | 9. *γινομ.* P^2 B: *γενομ.* V N P^3 | *αυτω* V P^2 P^3 m^1 m^2: *εν αυτω* c N (dieser + *ελθε*) | *κ. ειπ.* V: *ειπεν δε* N P^2 P^3, *dixit* L | 10. *θεωρω*: *ορω* nur V | *κεκοσμ.*: nur N + *φρασον μοι, φανειται καμοι ο λυκος ουτος* | *εξον* P^2 B (× *ει ουν*): *εξ ων* V N P^2 | 11. *οντι — λυκον* V P^2 (+ *ξενον* nach *τον*) P^3 B (+ *και ποθουντι* nach *οντι*): > N | *ενθαδιοις* V N P^2: *εγχωριοις* P^3 | 12. *κ. πασιν* V: > N P^2 P^3 | *κ. ειπ. αυ.* V: *ειπεν δε* N P^2 P^3 (+ *ο*) | 13. *αυτον* V N P^2: *τον λυκον* P^3 | *εαν — αυτον* N P^2 P^3 L: *δειξον μοι αυτον και* B, > V | 14. *ος* V N: *ο* P^2, *ω* P^3 | *τιμη* N P^2 P^3: *τιμην* V | *υποπιπτει* N P^2 P^3: *υποβαλλεται* V, *παραβαλλεται* (?) L | 16. *τον τοπον* N P^3: *αυτον τω τοπω* V, *αυτω τον τοπον* P^2, beide trotzdem *τω Ιω.* | 17. *αυτω τον λ.* N P^2 (× *και* vor *τον*) P^3: *αυτον τω λυκω* V | *εν τω τ.* V (*το*) N P^3: *επι τον τοπον* P^2 B | *ανθρωπος* N P^2 P^3: *ανηρ* V

πρὸς τὸν Ἰωάννην· ἰδοὺ ἤλθαμεν ἐν τῷ τόπῳ· δος μοι τὸν μαργαρίτην, καὶ δείξω σοι καὶ τὸν Λύκον. καὶ εἶπεν αὐτῷ Ἰωάννης· ἄνθρωπε, μή μοι ἀπιστήσῃς, ἀλλὰ δεῖξόν μοι τὸν Λύκον καὶ λαβὲ τὸν μαργαρίτην. καὶ ὡς ταῦτα διελέγοντο, ἰδοὺ ὁ δαίμων ὁ καλούμενος Λύκος ἀνέβαινεν ἀπὸ τοῦ ποταμοῦ. καὶ εἶπεν Ἰωάννης πρὸς αὐτόν· σοὶ λέγω πνεῦμα πονηρόν, ἄκουσον. καὶ εὐθέως ἔστη τὸ πνεῦμα καὶ εἶπεν ὁ Ἰωάννης· πόσα ἔτη ἔχεις ἐν τῷ τόπῳ τούτῳ; καὶ εἶπεν ὁ δαίμων· ἑξήκοντα. λέγει αὐτῷ ὁ Ἰωάννης· παραγγέλλω σοι ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος ἐξελθεῖν ἐκ τῆς νήσου ταύτης. καὶ εὐθέως τὸ πνεῦμα τὸ πονηρὸν ἄφαντον ἐγένετο ἐξ ὀφθαλμῶν ἡμῶν. ἰδὼν δὲ ὁ ἄνθρωπος ἐκεῖνος ὃ ἐποίησεν ὁ Ἰωάννης, εὐθέως ἔπεσεν εἰς τοὺς πόδας αὐτοῦ καὶ λέγει αὐτῷ· ἐλέησόν με, ἄνθρωπε· εἰπέ μοι, τίς εἶ καὶ πόθεν, ὅτι τοιαῦτα ποιεῖς, ὅτι θεοῖς ἐπιτάσσεις καὶ πείθονταί σοι τρόμῳ. ὁ δὲ Ἰωάννης εἶπεν αὐτῷ· ἐγώ εἰμι ὁ μαθητὴς Ἰησοῦ Χριστοῦ, τοῦ υἱοῦ τοῦ θεοῦ· οὗτος δὲ, ὃν λέγετε Λύκον θεόν, πνεῦμα πονηρὸν ὑπάρχει ἀπόλλον τὰς ψυχὰς τῶν ἀνθρώπων. διὰ τοῦτο ἀπέστειλέν με ὁ Χριστὸς ἐνταῦθα, ὅπως ἐκδιώξω

1. *ηλθ. εν τ. τοπω* V L: *ο τοπος* N P^2 P^3 | 2. *και* vor *τον* V P^2 P^3: > N | *και ειπ. αυ.* V: *ειπεν δε* N P^2 P^3 (+ *ο*) | 3. *μοι απιστ.* N P^2 P^3: *απιστης μοι* V | *αλλα* N P^2 P^3: > V | 4. *διελεγ.* N P^2 P^3: *διελογιζοντο* V | 5. *καλουμ.* V N P^2 B m^3 (+ *και επιφαινομενος*): *λεγομενος* P^3 | *ανεβαινεν* N P^2 P^3: *ανεβη* B (m^3?), *αναβαινων* V | *απο*: *εκ* B | 7. *ακουσον* V B: > N P^2 P^3 m^3 | *πνευμα*: nur V + *το ακαθαρτον* | *ειπεν*: nur V *λεγει αυτω* | *ο* V P^3 B: > N P^2 | 9. *εξηκ.* V N P^2 P^3: *εκατον* × c m^1, *εβδομηκοντα* m^2 L | *λεγει αυ. ο* V cf L (*ait Joannes*): *και ειπεν* N P^2, *ειπε(ν) δε αυτω ο* B | *παραγγελλω* N P^2 c m^1: *παραγγελω* V, *επιτρεπω* m^2 | 10. *του* dreimal V P^3: > N P^2 | *εκ της ν. τ.* V: *της ν. τ.* B, *την νησον ταυτην* N P^2 P^3 | 11. *αφαντον*: nur V *αφανη* | 12. *ανθρωπος*: nur V *ανηρ* | 13. *ο Ιω.* V P^3 B (× *σημειον*): *Ιω.* N P^2 | *ευθεως* V L: > N P^2 P^3 | *επεσεν — αυτου* V N P^3 B: *προσεπεσεν αυτω* P^2 | *κ. λεγει αυ.* V L (> *αυτω*): *λεγων* N P^2 P^3 B | 15. *τοιαυτα* N: *τα* × P^3, *σημεια* + P^2 cf L (*admiranda*), *ταυτα* V | *οτι* V B: + *και* P m^3, nur *και* N P^3, *qui* L | *σοι* N P^2 P^3 m^3 L cf B (*υπακουουσι σοι* hinter *τρομω*): > V | 16. *αυτω* V cf B (*λεγει αυ.*): > N P^2 | *ο μαθ.* V: *ο αποστολος* m^3 L (+ *et servus*), *Ιωαννης ο μαθ.* N P^2 P^3 m^1, *Ιω. ο απ.* c m^1 | 17. *δε* V N B L m^3: *γαρ* P^2 P^3 | 18. *υπαρχει*: nur V *εστιν* | *απολλον* schreibe ich; die überlieferten Formen haben sämmtlich ein *απολλω* = *απολλυω* = *απολλυμι* zur Voraussetzung: *απολλων* V, *απωλλον* P^3, *απωλλων* N, *απολλοντα* P^2, *και απολλει* B (c m^2, *απωλει* m^1), > m^3 (?) | 19. *δια* V B: *και* × N P^2 P^3 L | *ο Χρ.* hier V P^2 B (> *ο*): *Χρ.* vor *απεστ.* N | *εκδιωξω* V m^3: *διωξω* hinter *δαιμ.* N P^2 P^3, ebenda *φυγαδευσω* B

τοὺς δαίμονας, καὶ τοὺς ἀνθρώπους εὐαγγελίσωμαι τὴν ὁδὸν τῆς ἀληθείας. ἀκούσας δὲ ταῦτα ὁ ἄνθρωπος ἔπεσεν ἐπὶ πρόσωπον λέγων· ἄνθρωπε τοῦ θεοῦ, ποίησόν καὶ ἐμὲ τοῦ Χριστοῦ γενέσθαι δοῦλον. ὑπολαβὼν δὲ Ἰωάννης ἀπὸ τῶν θείων γραφῶν ἐδίδαξεν αὐτὸν τὰ περὶ πατρὸς, υἱοῦ καὶ ἁγίου πνεύματος. καὶ πάλιν ἔπεσεν εἰς τοὺς πόδας αὐτοῦ λέγων· δέομαί σου, δός μοι τὴν ἐν Χριστῷ σφραγῖδα. κατελθὼν δὲ ὁ Ἰωάννης ἐν τῷ ποταμῷ ἐβάπτισεν αὐτὸν εἰς ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος. ἀνελθόντων δὲ ἡμῶν ἀπὸ τοῦ ποταμοῦ, εἶπεν Ἰωάννης τῷ ἀνθρώπῳ· ἰδοὺ ἔλαβες τὸν πολύτιμον μαργαρίτην. καὶ ταῦτα λέγοντος αὐτοῦ, ἰδοὺ οἱ ἱερεῖς ἔχοντες τοὺς δώδεκα παῖδας σεσιδηρωμένους, ὅπως θύσωσιν αὐτοὺς τῷ δαίμονι τῷ ἐπικαλουμένῳ Λύκῳ — ὅταν δὲ ἤρχοντο ἐν τῷ τόπῳ, ἐν ᾧ τὴν θυσίαν ἀπετέλουν, πρῶτον ὁ δαίμων ἐφαίνετο αὐτοῖς, καὶ φόβος καὶ τρόμος ἐλάμβανεν αὐτούς, καὶ οὕτως ἀπέσφαζον τοὺς παῖδας — ἐλθόντων οὖν αὐτῶν ἐν τῷ τόπῳ καὶ δησάντων τοὺς παῖδας, λαβόντων τὰς μαχαίρας ἔμενον τὸν χρηματισμὸν τοῦ δαίμονος, ὅπως ἀποσφάξωσιν αὐτούς. ὁ οὖν Ἰωάννης ἐγγίσας πρὸς αὐτοὺς εἶπεν αὐτοῖς· ἄνδρες οἱ τὴν ὁδὸν τῆς ἀληθείας μὴ ἐπιστάμενοι, τὸν δαίμονα τὸν κα-

1. *τους αν.* V: *τοις ανθρωποις* N P^2 P^3 B (aber c m^1 darauf *υποδειξω*) | 3. *λεγων* V L: *λεγει* B (> *επεσεν επι πρ.*), *και προσεκυνησεν τον Ιωαννην* (*αυτον* P^2, *αυτω* P^3) *και ειπεν* (+ *αυτω* P^2) N P^2 P^3, *και προσκυνησας ειπεν* m^3 | *και εμε* V L (*ut et ego*) B: *με* N P^2 P^3 | 4. *Χριστου* V m^1 m^2: *σου* + N P^2 P^3 c, *filii dei* L | *γεν. δουλον* V N: *δουλ. γεν.* P^2 P^3, *γεν.* vor *του Χρ.* m^3, nur *δουλον* vor *του Χρ.* B | *Ιω.*: *ο* × N | 5. *υιου* V L: *και* × N P^2 P^3, ganz anders m^3 u. vollends B | 6. *και* — zum nächsten *αγ. πνευματος* l. 9 N P^2 P^3: nur *εβαπτισεν αυτον* V cf L | 7. *δεομαι σου* N P^3: > P^2 | 8. *ο* N P^2: > P^3 | 10. *τω ανθρ.* N P^2 P^3: *προς τον ανδρα* V, *ei* L | *πολυτιμον* N P^2 P^3 L (*preciosissimam*): *τον ατημητον* hinter *μαργ.* V | 11. *λεγ. αυ.* N P^2 P^3: *αυ. λαλουντος* V | *οι* V P^2 P^3 L B (+ *της αισχυνης*): *δυο* N | 12. *εχοντες* V N B (× *ερχονται*): *εχοντας* P^2, *οι εχοντες* P^3 | *τ. δωδ. παι.* V L: *τ. παι.* N P^2 P^3, *τον νεανισκον* B | 13. *οταν* V: *οτε* N P^2 (P^3?) | 14. *εν* — *απετελουν* V: > N P^2, die ganze Beschreibung der Sitte > L, ganz anders B | *ο δαι.* hier V P^2: hinter *αυτοις* N | 15. *αυτους* N P^2: *αυτοις* V | 16. *απεσφαζον* N: *απεσφαττον* P^2, *επεσφαζον* V | *αυτων* N P^2: > V | 17. *και* — *λαβοντων* V: *και σχηματισαντες τον παιδα λαβοντες τε* B, *και λαβοντων* N P^2 P^3 | 18. *αυτους* V L: *τους παιδας* N P^2 P^3 | 19. *ουν Ι. εγγισας* V N B: *δε Ι.* P^2 | *πρ. αυτους* V: *αυτοις* B, > N P^2 | *αυτοις* V: *προς αυτους* N P^2, > B | 20. *επιστ.* N P^2 P^3 L: *πιστευσαμενοι* V | *καλ.* N P^2 P^3: *λεγομενον* V

λούμενον Λύκον ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ τοῦ θεοῦ ἐγὼ ἐδίωξα ἔξω τῆς νήσου ταύτης. εἰς μάτην οὖν ὁ κόπος ὑμῶν γίνεται ἐν τῷ τόπῳ τούτῳ. λύσατε τοὺς παῖδας, κἀγὼ ὑμῖν ἀναγγελῶ περὶ τοῦ πνεύματος τοῦ πλανῶντος ὑμᾶς, ὅπως ἔμελλεν ἀπολέσαι τὰς ψυχὰς ὑμῶν τε καὶ τῶν παίδων τούτων. ἀκούσαντες δὲ ταῦτα οἱ ἱερεῖς παρὰ Ἰωάννου οὕτως μετὰ παρρησίας λαλοῦντος ἐξέστησαν. οὐδεὶς γὰρ ἐτόλμησεν δοῦναι ἀπόκρισιν τῷ πλησίον αὐτοῦ ἐν τῇ ὥρᾳ ἐκείνῃ, λέγοντες· ὅτι ὁ λύκος τὸν ποταμὸν ἀναγαγὼν ποταμοφορήτους ἡμᾶς ἐμβαλεῖ ἐπὶ τὴν θάλασσαν. ὁ οὖν Ἰωάννης εἶπεν πρὸς αὐτούς· λύσατε τοὺς παῖδας, εἶπον ὑμῖν, καὶ ἄφετε αὐτούς· ὃν γὰρ προσδοκᾶτε δαίμονα, ἐφυγαδεύθη δι᾽ ἐμοῦ ἐκ τοῦ τόπου τούτου κελεύσει τοῦ θεοῦ μου. καὶ οὐκ ἦν ἀπόκρισις ἀπὸ τῶν ἱερέων πρὸς Ἰωάννην· ἐγγίσας οὖν ὁ Ἰωάννης καὶ λαβόμενος τῶν δεσμῶν τῶν παίδων ἔλυσεν αὐτοὺς καὶ εἶπεν πρὸς αὐτούς· εἰσέλθατε εἰς τὴν πόλιν πρὸς τοὺς πατέρας ὑμῶν καὶ μητέρας καὶ ἀδελφούς. οὐδεὶς γὰρ τῶν ἰδίων αὐτῶν ἠκολούθει αὐτοῖς. καὶ πάλιν προσελθὼν ἐπῆρεν τὰς μαχαίρας ἀπὸ τῶν χειρῶν τῶν

1. *του υ. τ. θ.* N P^2 P^3 L: > V | 2. *νησου* N P^2 P^3 B: *πολεως* V, *regione* L | 3. *λυσατε* V (*−ται*) B (+ *τον νεον* oder *παιδα και αφετε αυτον υπαγειν*): *αλλα* × N P^2 P^3, *solvite ergo* L | 4. *αναγγ.* V P^2 B: *απαγγ.* N P^3 | *οπως — τουτων* V (nur *απολεσει* verschrieben) cf L (*contra animarum vestrarum et puerorum vestrorum salutem*) B (*και απολλοντα τας ψυχας υμων*): > N P^2 P^3 | 6. *ταυτα* hier V B (nur m² >): hinter *ιερεις* N P^2 | *ουτως* V N P^3: > P^2 L | *μετα παρρ.* V L: *εν παρρησια* N P^2 P^3 | 7. *ετολμησεν — εκεινη* V: *ετολμησεν εν τω τοπω εκεινω αποκρ. δουναι τ. πλησιον* B, *εν τη ωρα εκ. ετολμα αποκρ. δουναι τω εταιρω* (*ετερω* N) *αυτου* N P^2 P^3 | 9. *εμβαλει* V N P^3: *εμβαλλη* P^2 | 10. *επι* V: *εις* N P^2 P^3 | *ο ουν Ι.* V: *παλιν ουν ο Ι.* B, *et Joannes iterum* L, *ο δε Ι.* N P^2 P^3 | *λυσατε — αυτους* V cf L: *αφετε τους παιδας* (*αυτους* P^2) *υπαγειν* N P^2 P^3 | 12. *εφυγ. δι εμου* V: *εφυγ. υπ εμου* mit vielen Zuthaten vorher B, *δι εμου εδιωχθη* N P^2 P^3 | 13. *μου* V N P^3: > P^2 | *ην — Ιωαννην* V: *ην φωνη ουδε αποκρ. παρα* (c m¹, *απο* m²) *τ. ιερεων* B, *απεκριθησαν αυτω* N P^2 P^3 | 14. *Ιω.* N P^2 (> *ο*) P^3 B (*ο ουν. Ι. εγγ.*) L: *αποστολος* V | *λαβομενος*: nur V *επιλαβ.* | *τ. δεσμ. τ. παι.* V B (*του παιδος*): > N P^2 P^3 | 15. *αυτους* V: *τους παιδας* N P^2 P^3, > B | *πρ. αυτους* V N P^3: *αυτοις* P^2, *αυτω* B | *εισελθατε* V P^2 P^3: *—ετε* N | 16. *εις την π.* V P^2: *εν τη πολει* N P^3 B | *πατερας — αδελφους* V L: *γονεις υμων* N P^2 P^3 B (*γον σου* vor *εν τ. πολει*) | 17. *ιδιων* V N P^3 B: *γοναιων* P^2, *propinquorum* L | *ηκολ. αυτοις* N P^2 P^3: *ηκολουθησεν αυτους* V | 18. *προσελθων*: nur V + *Ιωαννης* | *επηρεν* N (*επειρ.* V P^2): *απειρε* P^3, *ελαβε* B | *τ. χειρ.* V B L: > N P^2 P^3 | *τ. ιερεων* V P^3: *αυτων* B L, *των μηεραιων* P^2 (s. zu p. 113, 11), *των ιερων ανδρων* N

ἱερέων, καὶ πάντες ἐξέστησαν ἐπὶ τοῦτο· οὐδεὶς μέντοι ἐτόλμησεν λαλῆσαι τῷ Ἰωάννῃ λόγον σκληρόν, ὅτι ἐκωλύοντο ὑπὸ τοῦ θεοῦ, τοῦ μὴ ἐπιβαλεῖν αὐτῷ χεῖρας ἢ ὕβρεις.

Καὶ εἰσῆλθον πάντες ἐν τῇ πόλει, καὶ ἐστάθη Ἰωάννης ἐν τόπῳ ἐν ᾧ ὑπῆρχεν στοὰ μικρὰ καλουμένη Θύρα, καὶ συνήχθησαν ὄχλοι πολλοὶ περὶ αὐτόν. ὑπολαβὼν δὲ Ἰωάννης ἀπὸ τῶν θείων γραφῶν ἤρξατο διδάσκειν αὐτοὺς τὰ περὶ πατρὸς, υἱοῦ καὶ ἁγίου πνεύματος. καὶ οἱ μὲν ἐπίστευον αὐτῷ, οἱ δὲ ἠπίστουν, ἔτι μὴν καὶ διὰ τὴν ἀπώλειαν τοῦ δαίμονος τοῦ ἐπικαλουμένου Λύκου· καὶ οὕτως πάντες ἐπείσθησαν καὶ εὐχαρίστουν αὐτῷ διὰ τὴν ζωὴν τὴν γεναμένην ἐπὶ τοὺς παῖδας. οἱ δὲ ἱερεῖς ἀπεχθεῖς ἦσαν τῷ Ἰωάννῃ καὶ οὐκ ἐλάλουν αὐτῷ, ἀλλ᾽ οὐδὲ ἤκουον τὸν λόγον αὐτοῦ. ἦν δὲ πριβάτον ἀναμέσον τῆς ὁδοῦ, καὶ εἷς ἐκ τῶν ἱερέων, ὃς ἦν τοῦ Διός, εἶχεν υἱόν, ὀνόματι Μωκᾶς. οὗτος εἰσελθὼν ἐν τῷ πρι-

1. τουτο V N P²: τουτοις P³ B | ουδεις μ. ετολμ. V B cf L: και ουκ ετολμησαν N P² P³ | 2. τω Ιω. V B: προς αυτον nach σκληρον N P² P³, *ei* L | οτι V: γαρ nach εκωλ. N P² P³ L (dieser sonst anders) | 3. θεου: nur P² κυριου | υβρεις V: υβριν P², *iniuriam aliquam* L, υβρισαι N P³ | 4. εισηλθον V B L: εισηλθαμεν P², —ομεν N P³ | παντες hier V cf B (ουν απαντες): vor εισηλ. N P² P³ | εσταθη V cf B (σταθεις δε oder ουν): εστη N P² | Ιω. V P²: ο Ιω. N | 5. τοπω N P² B: τω × V | 6. αυτον N P² B: αυτου V | απο τ. θ. γρ. hier N P²: hinter αυτους V, > B | 8. υιου V: του × N P², nicht vergleichbar L B | 9. ετι — απωλειαν P³ N (ετιγε) P² (> δια): ομοιως και την αιτιαν της απωλειας V, > L B m³; der richtige Text muss noch gefunden werden | τ. δαιμονος V P² P³: > N | επικαλ. V: επιλεγομ. P², λεγομ. N P³ | 10. ουτως N P² P³: οι V | επεισθ. V P² (beide επισθησαν) P³: επιστευσαν N | ευχαριστουν αυτω V L: ευχαριστησαν τω Ιωαννη N P² P³ | 11. την γεν. — παιδας V: των παιδων N P³ P³, *quia pueros a morte liberasset* L | 12. ιερεις: μὴ ἱερεῖς P² | απεχθεις ησαν (so ich statt απεχθησασαν) τω Ιω. — ηκουον V cf L (*eum odio habuerunt nec voluerunt ab eo baptizari nec obedire verbo eius*): nur ουκ ηθελον ακουειν N P² P³ | 13. τον λογον V N P²: των λογων P³ | πριβατον: nur N περιπατων. Mit ην δε πριβ. beginnt das in v (fol. 90 b) erhaltene Kapitel mit der Ueberschrift τα περι μιερεως και του υιου αυτου εις μυρνουσαν την πολιν. Die Hs. gehört hier nicht zur Recension B. Die Anfangsworte des Kapitels citirt Ducange, Gloss. med. et inf. Graec. 1226 aus einer Hs., welche mit meinem V verwandt sein muss | 14. οδου — των V u. cod. des Ducange: πολεως, εις δε των N P² P³ v m³ cf L B | ος — Διος N P² P³ v: του Διος m³, > V B L, Duc. geht von ιερεων gleich zu εισελθων über | 15. ονοματι V P³ B: ονομα αυτω N v (× και), και το ονομα αυτου P², ω ονομα m³ | Μωκας V: Μωκαν B, Μωχας N m³, Μωχ P² v (P³ darüber ein nicht ganz deutliches ᾶ), > L

βάτῳ λούσασθαι ἀπεπνίγη ὑπὸ πνεύματος πονηροῦ. ἦν δὲ ὁ δαίμων ὁ ἐξορισθεὶς ἀπὸ Ἐφέσου ὁ καὶ ἐν τῷ πριβάτῳ Διοσκορίδους ἀποπνίξας τὸν υἱὸν αὐτοῦ Δόμνον. ὁ οὖν ἱερεὺς ὡς ἤκουσεν περὶ τοῦ υἱοῦ αὐτοῦ ὅτι ἀπεπνίγη, εὐθέως ἔδραμεν ἐν τῷ βαλανείῳ, καὶ ὁρᾷ τὸν υἱὸν αὐτοῦ νεκρὸν κείμενον καὶ δραμὼν πρὸς Ἰωάννην εἶπεν αὐτῷ· μύστα καὶ διδάσκαλε τῶν Χριστιανῶν, ἰδοὺ καιρὸς ἦλθεν λοιπὸν τοῦ πιστεῦσαί με τῷ κηρυττομένῳ ὑπὸ σοῦ· ἰδοὺ γὰρ ὁ υἱός μου ἐπνίγη ἐν τῷ πριβάτῳ ὑπὸ πνεύματος ἀκαθάρτου, καὶ οἶδα ὅτι, ἐὰν θέλῃς, ἐγερεῖς αὐτὸν καὶ παρέχεις μοι ζῶντα. καὶ εἶπεν Ἰωάννης· καὶ πιστεύεις ὅτι δύναμαι τοῦτο ποιῆσαι καὶ ἀναστῆσαι αὐτόν; ὁ δὲ εἶπεν· ναί, κύριε. καὶ ἐπελάβετο ὁ ἱερεὺς τῆς χειρὸς Ἰωάννου, καὶ ἐπορεύθημεν ἐν τῷ πριβάτῳ, καὶ εἰσελθόντων ἡμῶν ἠνέχθη ὁ παῖς εἰς τοὺς πόδας Ἰωάννου νεκρός. καὶ εἶπεν ὁ ἱερεὺς πρὸς Ἰωάννην· τὸν θεόν σου, ὃν σέβῃ, ἀνάστησον τὸν υἱόν μου. ὁ δὲ Ἰωάννης κρατήσας αὐτὸν τῆς δεξιᾶς χειρὸς εἶπεν αὐτῷ· ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ, τοῦ υἱοῦ τοῦ θεοῦ,

1. *απεπνιγη* V P^2 v m^3 B: *επνιγει* N, *επνηγει* P^3 | *υπο*: nur V *απο* | *πονηρου* V N P^3 P^2 (vor *πνευμ.*) m^1: *ακαθαρτου* c v, (*πνευματι*) *ακαθαρτω* m^2, > m^3 L | 2. *εξορισθεις*: nur v *εξοριστος* | *απο Εφεσου* N P^2 P^3 v cf m^3 (*απο του πριβατου του Διοσκ. του κατεθεσον!*): *υπο Ιωαννου* V, *ex Epheso a Joanne* L | *ο* P^3 v: *ος* V N, > P^2 | 3. *αποπνιξας* V P^3 v: *απεπνιξεν* N, *αποπνιξαι* P^2 | 4. *οτι απεπ.* V cf L: > N v, *Δομνον* l. 3 — *απεπν.* > P^2 | 5. *βαλαν.* V B v: *πριβατω* N (hier mehrmals geschr. —*αιτω*) P^2 P^3 | *ορα — δραμων* V cf L: *ιδου ο υιος αυτου ην τεθνηκως και εδραμεν* N (> *αυτου*) P^2 v, *ευρων το πτωμα του υιου αυτου ερχεται σπουδαιως* B | 6. *Ιω.* V v B: *τον* × N P^2 | *ειπεν αυ.* V L: *λεγων* N P^2 v, *και λεγει αυτω* B | 7. *καιρος — ιδου* N P^3 v P^2 (> *με* u. stellt *λοιπον* vor *ο κ.* u. *κηρυττ.* hinter *σου*) cf L B: > V | 8. *γαρ* N P^3 v B L (> *ιδου*): > V P^2 | 9. *θελης*: —*εις* N P^3 | 10. *εγερεις* P^2 v: *εγειρεις* P^3, *εγειρης* N V | *παρεχεις μοι* N P^2 P^3 v: *περιστας μοι αυτον* V, *δυνασαι μοι παραστησαι αυτον* B cf L | *ειπεν*: nur V + *αυτω* | *και* vor *πιστ.* V B (P^3?): > N P^2 v | 11. *τουτο ποιησαι* V B: > N P^2 P^3 v | *και αν. αυ.* V: *αυτον* (*τουτον* v) *αν.* N P^2 P^3 v, > B | 12. *ο δε ει.* V B (*φησιν*): *και ει. ο ιερευς* N (P^2 v *μιερευς*) | *και — Ιω.* P^2 v (*μιερευς*) N (× *πιστευω*, > *ο ιερευς*): *και επιλαβομενος της χ. Ιω.* B, > V | 13. *εποο.*: nur V × *ευθεως* | 14. *ηνεχθη — νεκρος* V L B (*προς*): *ιδου ο παις εκειτο νεκρος και ο ιερευς* (*μιερευς* v, *μιερεως* P^2) *επεσεν εις τ. π. Ιω.* N P^2 v | *και — Ιω.* V L: *λεγων* N P^2 P^3 v | 15. *τον θ.* V B L: *ορκιζω σε* × N P^2 P^3 v | *σου* V B: > die andern | *σεβη* V (geschr. —*ης*) N P^3 (geschr. —*ει*) v: *συ οιδας* P^2, *καταγγέλλεις* B, *veneraris et praedicas* L | 16. *δε* V P^2 B: *ουν* N v

ἀνάστα. καὶ εὐθέως ἀνέστη, καὶ εἶπεν Ἰωάννης πρὸς αὐτόν· τί σοι ἐστὶν καὶ τί ἔχεις; καὶ εἶπεν ὁ παῖς· κύριε, ὡς ἤμην λουόμενος ἐν τῷ πριβάτῳ, ἀνέβη ἀνὴρ Αἰθίωψ ἀπὸ τῆς ἐμβάσεως καὶ ἀπέπνιξέν με. ἔγνω οὖν ὁ Ἰωάννης, ὅτι δαίμων ἐστίν. καὶ εἰσελθὼν ἐν τῷ βαλανείῳ, ἔκραξεν ὁ δαίμων μεγάλῃ τῇ φωνῇ· Ἰωάννη, μαθητὰ τοῦ Χριστοῦ, ὁρκίζω σε τὸν σὸν δεσπότην μή με διώξῃς ἀπὸ τοῦ τόπου τούτου. ὁ δὲ Ἰωάννης εἶπεν πρὸς αὐτόν· πόσα ἔτη ἔχεις ἐν τῷ βαλανείῳ; ὁ δαίμων εἶπεν· ἓξ ἔτη ἔχω· ἐγὼ γάρ εἰμι ὁ ἐν Ἐφέσῳ ἐν τῷ πριβάτῳ Διοσκορίδους κατοικῶν καὶ τὸν υἱὸν αὐτοῦ ἐν αὐτῷ ἀποπνίξας καὶ διωχθεὶς ὑπὸ σοῦ. καὶ εἶπεν αὐτῷ Ἰωάννης· σοὶ λέγω τῷ δαίμονι τῷ πονηρῷ, ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ, τοῦ υἱοῦ τοῦ θεοῦ, παραγγέλλω σοι ἐξελθεῖν ἐκ τοῦ τόπου τούτου καὶ ἐκ τῆς νήσου ταύτης, καὶ μηκέτι κατοικήσεις ἀναμέσον ἀνθρώπων, ἀλλὰ εἰς ἐρήμους τόπους. καὶ εὐθέως ἐξῆλθεν τὸ ἀκάθαρτον πνεῦμα. ἰδὼν οὖν ὁ ἱερεὺς πάντα ὅσα ἐποίησεν Ἰωάννης ἔπεσεν εἰς τοὺς πόδας αὐτοῦ καὶ εἶπεν πρὸς αὐτόν· κύριε, ἰδοὺ ἐγὼ καὶ ὁ υἱός μου καὶ πᾶς ὁ οἶκός μου κατὰ πρόσωπόν σου, καὶ ὃ λέγεις ἀκουσόμεθά σου καὶ ποι-

1. *ειπεν* V P^2 v: *αυτω* + N B | *προς αυτον* nur V | 2. *τι σοι εστιν και* V B: > N P^2 P^3 v | *εχεις* V P^2 v: *εσχες* N P^3, *υπεστης* B, *tibi contigit fili* L | *κ. ειπεν ο π.* V B (*νεανιας*): *λεγει ο νεανιας* P^2 v (*νεανισκος*), *ο νεανιας λεγει* N | 3. *εν τ. πριβ.* V B L: > N P^2 P^3 v | *αν. Αιθ.* vor *απο* V B (*εκ*): nach *εμβασ.* N P^2 P^3 v | 4. *απεπν.*: nur N *επνιξεν* | *ο*: > nur V | *δαιμων* V P^2 P^3 v: *ο* × N, *ο εν τω βαλανειω του εφεσιου Διοσκοριδους* × B | 5. *βαλ.* V B: *λουτρω* v, *πριβατω* N P^2 P^3 | *εκραξεν ο δ.* V: *ευθεως ανεκραξεν ο δ.* N P^3 (> *ο δ.*), *ο δ. εκραξε* P^2 v (+ *λεγων*) | 6. *τον σ. δεσπ.* N P^2 P^3 (> *σον*) v: *εις* × V | 7. *με*: nur V hinter *εδι.* | *απο* V N P^3 v: *εκ* P^2 B (dieser bringt den Satz nach l. 11) | 8. *αυτον*: *τον δαιμονα* nur V, derselbe + *τουτω* nach *βαλαν.* | 9. *δαιμ.*: nur P^2 × *δε* | 10. *κατοι. και* V L B (× *το πριν* u. *ο* vor *και*): > N P^2 P^3 v | *αυτου* hier V P^2 v B: vor *υιον* P^3, > N | *εν αυτω* V: > N etc. | 11. *υπο σου* V: vor *διωχθεις* N etc. | *και — Ιω.* V: *ο δε Ιω. ει. αυ.* N etc. | 12. *σοι — πονηρω* V: > N etc. | *Ιησου Χρ.* V L: *του εσταυρωμενου* × N P^2 v, + B (> *τ. υιου τ. θ.*) | 13. *εκ — και* V L: > N etc. | 14. *εκ* V P^2 v: *απο* N, > B | *κατοικησεις* V: *κατοικισης* P^2, *—ησαι* N B, *—ειν* v | 15. *ερημους* V P^2 v L: + *και αβατους* N, *αγριους και αοικητους* B | 16. *το ακ. πν.* N P^2 v L: *το πν. το πονηρον* V, *ο δαιμων* B | *παντα οσα* V B L: *ο* N P^2 v | 17. *κ. ει. πρ. αυ.* V B (> *πρ. αυ.*): *λεγων* N P^2 v cf L | 18. *εγω* N v L B: *καγω* P^2, *εγω ωδε* V | 19. *λεγεις* V N: + *ημιν* P^2 P^3 v, *ο εαν ειπης* B | *ακουσ.* V N B: *—σωμεθα* P^2 | *κ. ποιησ.* V (*—σωμεν*) B cf L: > N P^2 P^3 v

ήσομεν. καὶ εἶπεν πρὸς αὐτὸν Ἰωάννης· πίστευσον τῷ ἐσταυρωμένῳ Ἰησοῦ Χριστῷ, τῷ υἱῷ τοῦ θεοῦ, καὶ σωθήσῃ σὺ καὶ πᾶς ὁ οἶκός σου. καὶ εἶπεν ὁ ἱερεύς· ἐπίστευσα, μαθητὰ καὶ ἀπόστολε τοῦ εὐλογημένου Ἰησοῦ. καὶ παραλαβὼν ἡμᾶς εἰσήγαγεν ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ πάλιν ἔπεσεν εἰς τοὺς πόδας Ἰωάννου λέγων· δός μοι καὶ τῷ υἱῷ μου τὴν ἐν Χριστῷ σφραγῖδα καὶ πᾶσιν τοῖς ἐν τῷ οἴκῳ μου. καὶ διδάξας αὐτοὺς ἐβάπτισεν πάντας τοὺς ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ ἐμείναμεν παρ' αὐτῷ ἡμέρας τρεῖς χαίροντες καὶ ἀγαλλιώμενοι ἐπὶ πᾶσιν τοῖς θαυμασίοις οἷς ἐποίησεν ὁ θεὸς διὰ τοῦ Ἰωάννου.

Τῇ οὖν τετάρτῃ ἡμέρᾳ προσελθόντων ἡμῶν ἐν τόπῳ καλουμένῳ Φλογίῳ, συνήχθη σχεδὸν πᾶσα ἡ πόλις καὶ ἤκουον τοῦ Ἰωάννου διδάσκοντος, καὶ ἰδοὺ γυνὴ διαδραμοῦσα ἔπεσεν εἰς τοὺς πόδας Ἰωάννου καὶ εἶπεν· ὁρκίζω σε τὸν θεὸν ὃν κατ-

1. *πρ. αυτον* V: (*λεγει*) *αυτω ο* B, > N P^2 P^3 v | 2. *Ιησου* V L: > N P^2 P^3 v, nach einem grossen Zusatz hat B hier nur *τω εσταυρωμενω* | *σωθηση συ* N P^2 (*—σει συ*) P^3 v B: *σωθη σοι* V | *και πας* V N P^3 v (*απας*) c L: *και ο υιος σου* × P^2 m^1 m^2 (> nachher *πας*) | 4. *Ιησου* V: *Χριστου* N P^3 v (dieser dann erst *και αποστολε*), *θεου* P^2, *Jesu Christi filii dei* (> *ευλογημ.*) L | *εισηγ.* V B: *απηγ.* N P^2 P^3 v, *duxit* L | 5. *εν τω οι.* V: *εις τον οι.* N P^3 v, *εις τον εαυτου οι.* P^2 B | *και παλιν κτλ.* N etc.: nur V stellt hierhin *και εμειναμεν παρ' αυτω — Ιωαννου* (l. 8 — 10) und darauf die in obigem Text hier folgenden Sätze | *επεσεν εις τ. π.* N V v: *προσεπεσαν* P^2 | 6. *Ιωαννου* V: *Ιωαννη* P^2, *αυτου* N v | *δος* V L: *κυριε* × N P^2 v | *κ. τω υ. μου* V L: > N P^2 v | 7. *κ. πασιν — μου* V cf L: > N P^2 v | *αυτους* V L c (+ *και κατηχησας* cf L): *αυτον και* (*πισας* + P^2) *παντας τους εν τω οικω αυτου τα περι πατρος κ. υ. κ. αγ. πν.* N P^2 v cf theilweise L | 8. *παντας — αυτου* V cf L (*eos cum omnibus qui erant in domo*): N P^2 v | *και εμ.* V (s. zu l. 5) L: *εμ. δε* N P^2 P^3 v B | 9. *τρεις* hier V: vor *ημ.* N P^2 P^3 v, *επτα* nach *ημ.* B | *αγαλλιωμ.* V P^2 B: *—λλομενοι* N v | 10. *θαυμασ.* hier V B: hinter *Ιω.* P^2 P^3 v, vor *δια* N | *θεος*: nur N *κυριος* | *του* V B: > N P^2 P^3 v | 11. *τη ουν* V N P^2: *τη δε* P^3 L, *και τη* v. Hier geht P^3 mit den Worten *τεταρτη ημερα συνταξαμενοι αυτω εξηλθομεν απο της πολεως μυρινουσης και επορευθημεν εν χαρω τη πολει* zu einem viel späteren Kapitel über. Aehnlich m^3 | 12. *Φλογιω* m^1: *Φλογω* V, *Φλεγιω* N P^2, *Φλογιων* v, *Φλογιν* c m^1, *Phlago* L | 13 *διαδραμουσα* N P^2 B (+ *τους οχλους και εισελθουσα*): *δραμουσα* v, *δρομω ηλθεν* V | *επεσεν εις* N v B: *προσεπεσεν τοις πωσιν* P^2, nur *εις* V | 14. *Ιω.* V v: *του Ιω.* P^2 c, *του αποστολου* m^1, *αυτου* N, *αυτω* m^2 | *κ. ειπεν* N P^2 v B (+ *αυτω*): *λεγουσα προς αυτον* V | *ορκ. σε* V B L: > N P^2 v | *καταγγ.* V L (ohne *tu*): *συ* × P^2 (*σοι*) v, *συ διαγγελλεις* N, *σεβη και καταγγ.* B

αγγέλλεις, ἐλέησόν με. ὁ δὲ εἶπεν· τί σοι θέλεις ποιήσω; καὶ εἶπεν ἡ γυνή· υἱόν μοι κατέλιπεν ὁ ἀνήρ μου τριῶν ἐτῶν, καὶ ἐμόχθησα πολλὰ καὶ ἀνῆξα αὐτὸν εἰς τέλειον ἄνδρα, καὶ πνεῦμα πονηρὸν τοῦτον ἐράπισεν, καὶ κατεδαπάνησά μου τὸν πλοῦτον εἰς τοὺς κακογνώμονας ἀνθρώπους, καὶ οὐδεὶς αὐτὸν ἠδυνήθη θεραπεῦσαι. διὸ δέομαι σοῦ, τοῦ ἀποστόλου τοῦ Χριστοῦ, σπλαγχνίσθητι ἐπ᾽ ἐμοὶ καὶ θεράπευσόν μου τὸν υἱόν. ὁ οὖν Ἰωάννης εἶπεν· ἄπελθε, ἄγαγέ μοι αὐτὸν ὧδε, καὶ ὁ Χριστὸς θεραπεύσει αὐτόν. καὶ εὐθέως πιστεύσασα ἡ γυνὴ ἐπορεύθη μετὰ ἓξ παίδων τοῦ ἀγαγεῖν αὐτόν. ὡς οὖν ἐκράτησαν αὐτόν, εἶπον αὐτῷ· ἄγωμεν πρὸς Ἰωάννην τὸν ἀπόστολον τοῦ Χριστοῦ, ὅπως διώξῃ ἀπὸ σοῦ τὸ πνεῦμα τὸ πονηρόν. καὶ ἐπὶ τῷ λόγῳ τούτῳ εὐθέως ἐξῆλθεν τὸ πνεῦμα τὸ ἀκάθαρτον ἀπὸ τοῦ παιδὸς πρὸ τοῦ παραγενέσθαι αὐτὸν πρός Ἰωάννην. λαβοῦσα δὲ αὐτὸν ἡ μήτηρ αὐτοῦ σωφρονοῦντα ἔρχεται καὶ προσπίπτει εἰς τοὺς πόδας Ἰωάννου λέγουσα· κύριε, δὸς ἐμοὶ καὶ τῷ υἱῷ μου τὴν ἐν Χριστῷ σφραγῖδα. καὶ

1. *ειπεν* V: *προς αυτην* N P² v, *αυτη* B, *illi* L | *σοι* V B: hinter *ποιησαι* P² cf L, > N v | 2. *ο ανηρ μου*: > nur P² | *τριων ετων* V P² B L: *τριετη* v, *ωσει χρονων τριων* N | 3. *εμ. πολλα και* V: *εμ. και* N v, *εμ. και ηγωνησαμην και* P², *μετα πολλων μοχθων* B cf L | *ανηξα* V B: *ηγαγον* N P² v | *αυτον*: > P² | 4. *εραπ.* V N v: *ερραπ.* P² c m², *ραπισας* m¹ | *κατεδαπανησεν* nur P² | 5. *τους* > nur V | 6. *διο* N L *(quare)*: *ουν* hinter *δεομαι* v m¹, hinter *σου* P², *αλλα* vor *δεομαι* c m², > V | 7. *σπλαγχνισθητι . . . θεραπευσον*: nur V *σπλαγχνισθηναι . . . θεραπευσαι* | 8. *ουν* N P² v: *δε* V, > L B | *ωδε* V: *ενταυθα* m², > N P² v c m¹ L | 9. *Χριστος*: nur N + *μου* | *αυτον*: nur V + *μετα παντων* | *και ευθ.* V L: *ευθ. δε* N P² v | 10. *του* N P² v: *ωστε* V | *αυτον* N P² v L: + *προς Ιωαννην* V | 11. *αυτον* N P² v: *τον ανδρα τον νεον οι εξ ανδρες* V, *puerum* L | *αυτω* N P² v L: *προς αυτον* V | *αγωμεν* V P² v B: *αγομεν σε* N, *δευρ. απελθωμεν* v, *veni* L | 12. *διωξη* N B: *διωξει* V P², *οπως — πονηρον* > v; dieser schliesst das Kapitel und damit seine Mittheilungen aus Prochorus so: *και ευθεως εξηλθεν ο δαιμων απο του παιδος και εκαθαρισθη. λαβουσα δε η μητηρ αυτον απο της χειρος ηγαγε προς Ιωαννην προσπιπτουσα και ευχαριστουσα αυτω. πολλοι δε εκ του οχλου ιδοντες επιστευσαν τω Χριστω και εβαπτισθησαν συν τω ιαθεντι παιδι εις δοξαν πατρος κ. υ. κ. α. πν. νυν και αει και εις τους αιωνας των αιωνων. αμην.* Darauf das Kapitel aus Leucius (fragm. IV) *απο Λαοδικιας εν Εφεσω το δευτερον* | *το πν. το πον.* V P² c (> das zweite *το*): *το πον. πν.* N m¹ m² | 13. *τ. πνευμα το ακ.* N P² L: *το πονηρον πν.* V, *ο δαιμων* B | 16. *προσπιπτει* V N: *πιπτει* P² c m², *πεσουσα* m³ | 17. *εμοι — μου* N P² L: *μοι* V

λαβὼν Ἰωάννης τὸν υἱὸν τῆς γυναικὸς ἀπὸ τῆς χειρὸς αὐτοῦ εἶπεν· δεῦρο εἰσέλθωμεν εἰς τὸν οἶκον ὑμῶν. καὶ εἰσελθόντων ἡμῶν ἐδίδαξεν αὐτοὺς τὰ περὶ πατρὸς, υἱοῦ καὶ ἁγίου πνεύματος καὶ ἐβάπτισεν αὐτοὺς καὶ πάντα τὸν οἶκον αὐτῆς. καὶ ἐμείναμεν παρ᾽ αὐτῇ ἡμέρας τρεῖς.

Καὶ τῇ τετάρτῃ ἡμέρᾳ προελθόντων ἡμῶν ἠκολούθει ἡμῖν ὄχλος πολὺς, διδασκόμενοι ὑπὸ Ἰωάννου. ἐν δὲ τῷ τόπῳ, ᾧ ἦν διδάσκων Ἰωάννης, ἦν ἱερὸν τοῦ Διονύσου. ἐν τούτῳ οὖν τῷ μιαρῷ ἱερῷ εἰσήρχοντο πλήθη πολλὰ καὶ ἀνεκομίζοντο οἶνον πολὺν ἐν τῷ μιαρῷ ἱερῷ τοῦ Διονύσου καὶ πολυτέλειαν βρωμάτων. καὶ ἐν ἐπισήμῳ ἡμέρᾳ εἰσήρχοντο ἐν μιαρῷ ἱερῷ ἐκείνῳ σὺν γυναιξὶν παρεκτὸς παιδίων καὶ ἔτρωγον καὶ ἔπινον. μετὰ οὖν τὸ φαγεῖν αὐτοὺς καὶ πιεῖν ἔκλειον τὰς θύρας καὶ ἀτάκτως ὥσπερ ἵπποι θηλυμανεῖς ἐπήρχοντο ταῖς γυναιξὶν διὰ ἀτάκτου πολυμιξίας. ἔλαχεν οὖν ἐν τῇ ἡμέρᾳ, ᾗ ἦν διδάσκων Ἰωάννης ἐν τῷ τόπῳ ἐκείνῳ, εἶναι τὴν ἄτακτον ἑορτὴν αὐτῶν,

1. *λαβων* — *ημων* l. 3 N P² (nach *αυτου* + *ακολουθουσης και της μητρος αυτου*, dann l. 2 *οικον ημων*) cf B (nach einigen in c m¹ m² ziemlich verschieden lautenden Zusätzen, welche theilweise an den zu p. 126, 12 angeführten Schluss von v erinnern, heisst es z. B. in c *λαβομενος τοινυν ο αποστολος της χειρος του νεανισκου εισηλθε συν τη μητρι αυτου εις τον οικον αυτων και κατηχησας εβαπτισεν κτλ.*): > V L | 3. *αυτους* N P²: *αυτον* V, *eam et universam eius familiam* L | 4. *κ. παντα τ. οι αυ.* V: *και παντας* (*απαντας* ohne *και* P²) *τους εν τω οικω αυτων* P² B (c hat vorher *και αυτους*), > N, auch *αυτους* vorher > L s. aber zu l. 3 | 5. *αυτη* V L: *αυτοις* N P² B | 6. *προελ.* N P² B: *προσελ.* V | *ηκολουθει* V: —*ησεν* P², —*ησαν* N | 7. *οχλος πολυς* V P² L: *οχλοι πολλοι* N | *διδασκομενοι* N P²: —*νος* V | *ω* — *Ιω.* N P² (*ο ην . . . ο Ιω.*): *εκεινω* V | 8. *εν τουτω* — *ιερω* nach V (geschr. *τουτο . . το μιαρον ιερον* trotz *εν*) L: nur *εν τουτω ουν* N P² | 9. *εισηρχ.* V N L: *ηρχοντο* P² | *κ. αν.* (geschr. *ανεκομιζον τον*) *οινον π.* (geschr. *πολλην*) V cf L (*offerens vinum multum*): *εχοντες οινον* N P² | 10. *εν* — *Διονυσου* V: > N P² L | 11. *και* N P² cf L (*et mos erat*): *δε* hinter *επισ.* V | *εισηρχ.* — *επινον* V cf L (*viros et mulieres sine pueris introire et bibere et manducare*): *ετρογον* (*εφαγον* N) *και επινον αμα γυν. παρεκτος παιδιων* N P² | 13. *φαγ. αυ. κ. π.* V P² (> *αυτους*): *πιειν κ. φαγ.* N, *post crapulam* L | 14. *αταχτως* hier V: vor *εκλειον* N P² (L?) | *ωσπερ* V: *ως* N P² | *δια της* V P² L: *μαινομενοι τη* N | 15. *αταχτου* V: *ακορεστου* P², *ακορεστω* (*πολυμιξια*) N, *iusanum desiderium* L | *ουν εν* V: *ουν* P², *δε* N L | *η* — *εκεινω* V (in L ein Anklang): *εκεινη* N P² | 16. *την* — *αυτων* V: *αυτοις την μιαραν και αταχτον* (*αταχτα θυσιαν και* N) *εορτην* NP²

καὶ συναχθέντες ἅπαντες ἔλεγον πρὸς Ἰωάννην· ἄνθρωπε, ἀρκέσθητι λοιπὸν ἐπὶ τῇ καταβολῇ τῇ κακῇ τῶν παρὰ σοῦ σπαρέντων εἰς ἀνοήτους ἀνθρώπους καὶ ἀναχώρησον ἐκ τοῦ τόπου τούτου, ὅτι ἑορτή ἐστιν ἡμῖν τοῦ μεγάλου Διονύσου, μή σε κακῶς τιμωρήσηται. ὁ δὲ Ἰωάννης οὐκ ἐφείδετο λαλεῖν τοῖς ἡδέως δεχομένοις τὸν λόγον τῆς ἀληθείας. ὑπῆρχον δὲ δώδεκα ἱερεῖς μιαροὶ τοῦ Διονύσου· ἰδόντες δὲ, ὅτι οὐ φείδεται Ἰωάννης τοῦ λαλεῖν οὔτε δὲ ἀναχωρεῖ ἀπὸ τοῦ τόπου ἐκείνου, ἐπῆλθον αὐτῷ καὶ δήσαντες αὐτὸν ἔσυραν, πληγὰς πολλὰς ἐπιθέντες αὐτῷ καὶ ἀφῆκαν αὐτὸν δεδεμένον καὶ ἐπορεύθησαν ἐν τῷ ἱερῷ. ἦν δὲ νόμος τοῖς ἱερεῦσιν πρῶτον αὐτοὺς εἰσέρχεσθαι καὶ ἀπογεύεσθαι τῶν βρωμάτων καὶ λαμβάνειν τινὰ ἐξ αὐτῶν καὶ εἶθ᾽ οὕτως τὸν πάντα λαὸν συγγίνεσθαι ἐπὶ τῇ μιαρᾷ αὐτῶν ἀταξίᾳ. εἰσελθόντων οὖν τῶν δεκαδύο ἱερέων ἐν τῷ ἱερῷ τοῦ Διονύσου, τοῦ παρ᾽ αὐτοῖς ἐπιλεγομένου θεοῦ, στενάξας ὁ Ἰωάννης, ὡς ἦν ἐπὶ τῆς γῆς κείμενος δεδεμένος, εἶπεν· κύριε Ἰησοῦ Χριστέ, καταπέσοι τὸ ἱερὸν τοῦ Διονύσου. καὶ εὐθέως κατέπεσεν καὶ ἐθανάτωσεν τοὺς δώδεκα ἱερεῖς.

1. *απαντες* V L: > N P^2 | *προς I.* V: *τω Ιωαννη* N P^2 | *ανθρ.* V: + *του θεου* N P^2, > L | 2. *λοιπον — ανθρωπους* N P^2 cf L: > V | 3. *εκ τ. τοπου τ.* V L: > N P^2 | 4. *εστιν* hier V: hinter *ημιν* N P^2 | 5. *τιμωρησηται* N P^2 (*—εται*) L: *τιμωρησωμεν* V | *λαλειν* N P^2: *διδασκειν* u. doch *τοις κτλ.* V, *semper docens eos* L | 6. *δεχ.* N P^2: *εχομενοις* V, *qui . . . audiunt* L | *υπηρχον — ιδοντες δε* V cf L: *οι δε ιερεις ιδοντες* N P^2 | 7. *φειδεται* V P^2: *εφειδετο* N | *του λαλ.* N P^2: *το διδασκειν* V | 8. *δε αναχωρει* V: *αναχωρειν* N P^2 | *επηλθον — εσυραν* N (*εσηραν*) P^2 (*αυτου* statt *αυτω* und *αυτον* nach *εσυραν*); auch B (zu welchem hier vt durchaus gehört) hat unter viel Fremdartigem *δησαντες αυτον εσυραν* (*εξω του τοπου* + m^2 vt, *εκ τ. τοπου* + c): > V | 9. *πληγ. — αυτω* P^2 N (> *πολλας*) Cp, dessen Fragment hier beginnt Birch 293: *και* × u. *αυτον* V | 10. *και αφηκαν — ιερω* V Cp L: *και επορευθησαν εασαντες αυτον δεδεμενον* N P^2 | 11. *νομος τ. ιε.*: nur P^2 *μονοις τοις μὴ ἑρευσιν* | 12. *βρωματων* V P^2 Cp: *και ποματων* + N, mehreres > L | *και* vor *ειθ᾽* V N Cp: > P^2 | 13. *συγγιν.* V: *συναγεσθαι* N P^2 | *μιαρα* V: *μυσαρα* N P^2 | 14. *ουν* V N: *δε* P^2 Cp | *των δεκαδ. ιε.* N Cp: *των μη ερεων* P^2, *αυτων* V | *εν τ. ιερω* V N P^2: > Cp | 15. *του — θεου* V Cp (*dicis* bei Birch ist Schreib- oder Druckfehler für *deus*. Mingarelli Aeg. codd. rell. p. CCCIII lässt in der Uebersetzung das koptische *Unutepe* stehn und bemerkt *è un Dio*): > N P^2 | 16. *δεδεμ.* V Cp (*vinctus et iacens*): > N P^2 | 17. *καταπεσοι* N P^2: *—σει* V | *του Διον.* V Cp cf L: *τουτο* N P^2 | 18. *ιερεις* V Cp cf B: *ως ουν ειδεν ο λαος το γεγονος εδραμον και* (*δραμοντες* P^2) *ελυσαν τον Ιωαννην λεγοντες· λυσωμεν αυτον μηπως καθ᾽*

Ἦν δέ τις ἀνὴρ ἐν τῇ πόλει ἐκείνῃ Μυρινούσῃ ὀνόματι Νοητιανός, καὶ ὄνομα τῇ γυναικὶ αὐτοῦ Φορά, καὶ τούτοις δύο υἱοί· ὄνομα τῷ μείζονι Ῥώξ, καὶ ὄνομα τοῦ νεωτέρου Πολύκαρπος. ὁ οὖν Νοητιανὸς εἶχεν πεῖραν μαγικῆς κακοτεχνίας καὶ βιβλία πολλὰ ὑπὸ δαιμόνων κατεσκευασμένα. ὡς οὖν εἶδεν τὸν Ἰωάννην εὐξάμενον περὶ τῆς καταστροφῆς τοῦ ἱεροῦ καὶ καταπεσόντος εὐθέως καὶ θανατώσαντος τοὺς δώδεκα ἱερεῖς, ἐλυπήθη σφόδρα καὶ θυμὸν δαιμονικὸν εἶχεν κατὰ Ἰωάννου. ὁ γὰρ πᾶς λαὸς ἔδραμεν καὶ ἔπεσεν ἐπὶ πρόσωπον καὶ προσεκύνησεν τὸν Ἰωάννην, λέγοντες αὐτῷ· μήποτε καὶ ἐφ᾽ ἡμᾶς καταράσηται, καὶ πυρίκαυστοι γενώμεθα. καὶ ἀναστάντες ἔλυσαν τὸν Ἰωάννην καὶ ἐδιδάσκοντο ὑπ᾽ αὐτοῦ. ὁ οὖν Νοητιανὸς λέγει τῷ Ἰωάννῃ· διδάσκαλε, ἰδοὺ πάντες ἀγαπῶσίν σε· θεράπευσον οὖν πάντας, καὶ εἰ ἔστιν εὐθύτης ἐν τῇ καρδίᾳ

1. *καθ ημ.* N P^3 m^3: *κατα πασαν ημ.* c, dasselbe vor *παντες οι αδ.* m^1, > m^2 | *εισερχ.* N P^3 P^4 (s. zu p 161, 9) c m^2: *ηρχοντο* m^3, *παρεγινοντο* m^1 | *υπο Ιω*: nur P^4 hinter *Δομνου* | 2. *εν τ. οι. Δ.* P^3 P^4 (*τη οικια*) c m^1 m^2 (m^3 vorher *εν αυτω*): > N | *κ. παντες λ. επ. τ. λαλ.* (*λεγομενοις* P^3 m^2) *υ. Ιω.* P^3 P^4 c m^2 (+ *και γινομενοις*): nur N stellt um *και ουδεις ηπιστει τοις λαλουμενοις υπο Ιω. αλλα παντες επιστευον αυτοις*, ganz anders m^1 u. wieder anders m^3 | 3. *και — αυτω* P^3 P^4 c: > m^2, über N vorher, m^1 m^3 nicht vergleichbar | *διετριψ. κτλ.* N P^3 P^4 c m^3: *μετα δε το ελθειν ημας απο της εξωριας διετριψαμεν εν Εφ.* m^1 m^2 | 4. *ελθειν* N m^1 m^2: *εξελθειν* P^3, *επανελθειν* P^4 c m^3 | 5. *και* N P^4: > P^3 c m^1 m^2, sehr verwirrt m^3 | 6. *το πριν* N P^3 m^3: *το προτερον εποιησαμεν* P^4 c m^1 m^2 | 7. *ο Ιω. — επτα* P^3 m^2 m^3, wesentlich so P^4 (aber *εν Εφεσω εξ Ιερ.*), m^1 c (diese *πεντηκ εξ*), alle ausser P^3 m^3 *Ιεροσολυμων*: nur N *και ετων πεντηκοντα Ιω. οτε παρεγ. εξ Ιερουσαλημ εις Εφεσον* | 8. *Προχ. — Ιωαννου* P^4 m^2 (*αυτου* statt *Ιω.*): > die andern | 9. *κ. μηνων τριων* P^4 m^2 m^3 N (*εξ*): > P^3 c m^1 | 10. *πληρωσαντες — ημας* N P^3 P^4 c m^2 (*ουν* statt *δε*), ähnlich m^3 (aber *εικοσι επτα*): *πληρωθεντων δε των εικοσι εξ χρονων μετα την εκ της Πατμου επανοδον* m^1 | *απο Πατμου* P^4 c m^2 cf m^1 vorher: > N P^3 m^3 | 11. *εν Εφ.*: nur m^2 + *εν τω οικω Δομνου*, nur m^3 *εις Εφεσον* | *εξηλθεν ο Ιω.* N (> *ο* so auch m^3) P^3 P^4 c: *μια των ημερων εξελθων ο Ι.* m^1, > m^2 | *εκ*: > m^1 | *οικου*: > P^3 | 12. *και παρελ.* N P^3 m^3: *παρελ.* m^2, *και παραλαβων* P^4 c, *παραλαβων* m^1 | *Προχορον* P^4 c m^1 m^2: > N P^3 m^3 | 13. *αλλους* N P^3 P^4 m^3: *ετερους* c m^1 m^2 | *κ. ει.* N P^3 m^3: *λεγει* P^4 c m^1 m^2 | 14. *υμων*: nur N *ημων*, der aber alles > bis *ημων* l. 15 | *κ. ελαβ. — ημων* P^3: *ελαβομεν δε ορυκτηρας* c m^1, *και λαβοντες* m^3, *και εποιησαμεν ουτως* P^4 m^2 | 15. *και ηκολ. — τοπω και* P^3 (wesentlich so c m^1 nur *και ελθοντων ημων*) N (> *και ηλθομεν*) m^3 (*και ελθοντες*): nur *και ηλθομεν εν τοπω και* P^4

τινι τόπῳ καὶ εἶπεν ἡμῖν· καθίσατε ὧδε. καὶ ἐκαθίσαμεν ἐν τῷ τόπῳ ἐκείνῳ· ἦν δὲ πρὸς ὄρθρον· νὺξ γὰρ ἦν. καὶ αὐτὸς ἀπῆλθεν ἀφ᾽ ἡμῶν ὡσεὶ λίθου βολὴν καὶ προσηύξατο, ἵνα ἡσυχίαν σχῇ ὁ τόπος, καὶ μηδεὶς παραγένηται ἐν τῷ τόπῳ ἐκείνῳ παρὲξ ἡμῶν τῶν ἑπτά. καὶ μετὰ τὸ εὔξασθαι αὐτὸν ἦλθεν πρὸς ἡμᾶς καὶ εἶπεν ἡμῖν· ὀρύξατε τῷ ὀρυκτῆρι τὸ μῆκος τῆς ἐμῆς ἡλικίας σταυροειδῶς. καὶ μετὰ τὸ ὀρύξαι ἡμᾶς, καθὼς εἶπεν ἡμῖν, προσηύξατο καὶ μετὰ τὴν εὐχὴν ἔθετο ἑαυτὸν ἐν τῷ ὀρύγματι, ὃ ὠρύξαμεν, καὶ εἶπεν πρός με· τέκνον Πρόχορε, ἐν Ἱεροσολύμοις βάδιζε, ὅτι ἐκεῖ σε δεῖ τελειωθῆναι. καὶ διδάξας ἡμᾶς ἠσπάσατο ἡμᾶς καὶ εἶπεν ἡμῖν· ἐπισύραντες γῆν, τὴν ἐμὴν μητέρα, καλύψατέ με. ἡμεῖς δὲ ἠσπασάμεθα

2. *και εκαθ. — γαρ ην* N P^3 c (m^1 *νυκτος ουσης ηδη*): bis *εκεινω* auch p (= Paris. 881 s. Einleitung, welcher von p. 162, 11 an wieder eintritt), > P^4 m^2, undeutlich Amphil. über m^3 | 3. *απηλθεν* N P^3 c m^3 (m^1 *απελθων*): *διεστη* P^4 m^2, *διηλθεν* p | *ινα — επτα* N (> *ο τοπος*) P^3 c (*εκει* statt *εν εκ. τ. τοπω*, so auch m^1, welcher *ετερος* hinter *μηδεις* u. *πλην* statt *παρεξ*) ähnlich m^3: *εστως και ουδεις παρεγενετο εν τω τοπω οπου* (*ενθα* m^2) *ην ο Ιω. εως πρωι* P^4 m^2, > p vorher aber *και εστη και προσηυξατο* | 5. *κ. μετα* N P^3 c m^3: *μετα δε* P^4 m^1 m^2 p | *το ευξ. αυτον* P^3 P^4 c m^1: *τελεσθαι αυτον* m^2, *τελεσαι αυτον ευχην* p | 6. *ειπεν* N P^3 m^2 m^3 p (> *ηλθεν πρ. ημ. και*): *λεγει* P^4 c m^1 | *ημιν*: *προς ημας* p, dieser u. P^4 + *εγγισατε μοι αδελφοι και* (*ως δε* p) *ηλθομεν προς αυτον και* (*και* > p) *ειπεν ημιν* | *τω ορυκτηρι* P^3 c m^1: *μετα του ορυκτηρος* p, > N P^4 m^2 m^3 | *τ. μηκος* P^3 P^4 c m^1 m^2 p: *το ορυκτηριον* N, *ορυγμα* m^3 | 7. *σταυροειδως* N P^3 c m^1: + *κατα την απλωσιν των εμων χειρων* P^4 m^2 p (dieser *σταυροειδες*) | 8. *ημιν* N P^3 p (+ *και εστη παλιν και*): > P^4 c m^1, *καθως ειπεν ημιν* > m^3, auch m^2 (sonst wie p) | *και μ. τ. ευχην* N P^3 P^4 c m^1: *μετα δε το ευξασθαι αυτον ησπασατο παντας ημας και* p, ganz ähnlich m^2 | *εθετο* N P^3 P^4 c m^3: *εθηκεν* m^2 p, *ανεκλινεν* m^1 | 9. *εν τω ορυγμ.* N P^3 P^4 c m^1: *προγματι* (!) m^3, *επι του τοπου* p, *επι χειρας και ποδας* m^2 | *ο* N P^4 c: *ω* P^3 m^3, *ου* p, *ο ωρ.* > m^1, auch m^2 der mit *και εδιδαξεν ημας* zu l. 11 übergeht u. den Auftrag an Prochorus später bringt; ähnlich p | *ειπε* N P^3 m^3: *λεγει* P^4 c m^1 | 10. *βαδιζε* hier N P^3 (m^3?): vor *εν Ι.* P^4 c m^1 | *εκει σε*: von allen als ein Wort, nur N *εκειν σε* | 11. *επισυραντες* N P^3 m^1 p (× *τεκνια*): *επισυρατε* P^4 m^2, *συραντες* c | 12. *γην* P^3 c m^1, hinter *μητερα* N: > P^4 m^2 p | *καλ. με* N P^3 c m^1 m^3: *και σκεπασατε με εως των γονατων μου* m^2 P^4 (*σκεπασεται*) p (> *και u. μου*) | *ημεις — αυτον* N P^3 c m^1 (*παλιν* vor *αυτον*): > p, *και παλιν προσηυξατο και εδιδαξεν ημας και παλιν ησπασατο ημας και ειπεν ημιν* p. 164, 2 m^2, ebenso P^4 im Anfang, diese Hs. bricht aber mit *εδιδα* ab

αὐτὸν καὶ ἐπισύραντες γῆν ἐσκεπάσαμεν αὐτὸν ἕως τῶν γονάτων. καὶ πάλιν ἠσπάσατο ἡμᾶς καὶ εἶπεν ἡμῖν· ἐπισύραντες γῆν καλύψατέ με ἕως τοῦ τραχήλου. καὶ ἠσπασάμεθα αὐτὸν καὶ ἐπισύραντες γῆν ἐσκεπάσαμεν αὐτὸν ἕως τοῦ τραχήλου. καὶ εἶπεν ἡμῖν· ἐνέγκαντες ὀθόνην ἐπίθετε εἰς τὸ πρόσωπόν μου καὶ ἀσπάσασθέ με κραταιῶς, ὅτι οὐκ ὄψεσθέ με οὐκέτι ἐν τῷδε τῷ βίῳ. ἡμεῖς δὲ πάλιν ἠσπασάμεθα αὐτὸν κλαίοντες, καὶ ἐπισύραντες γῆν ἐσκεπάσαμεν αὐτόν· καὶ ὁ ἥλιος ἀνέτειλεν, καὶ αὐτὸς παρέδωκεν τὸ πνεῦμα. εἰσελθόντων δὲ ἡμῶν ἐν τῇ πόλει εἶπον ἡμῖν οἱ ἀδελφοί· ποῦ ἐστιν ὁ διδάσκαλος ἡμῶν; εἴπομεν δὲ αὐτοῖς τὰ γεγονότα, οἱ δὲ παρεβιάσαντο ἡμᾶς τοῦ δεῖξαι αὐτοῖς τὸν τόπον. καὶ ἐλθόντων ἡμῶν ἐν τῷ τόπῳ, ὀρύξαντες οὐδὲν εὕρομεν καὶ ἐκλαύσαμεν σφοδρῶς.

1. *γην* P^3 c m^1: *την* × N p | *εσκεπασ.* P^3 c (> das folgende *αυτον*) m^1 m^3 p: *εκαλυψαμεν* N | 2. *και παλιν ησπ. ημ. και* N P^3 m^3: *παλιν δε ασπασαμενος ημ. ειπε* c m^1, *κ. παλιν προσηυξατο και* p | 3. *γην*: nur p *την εμην μητερα* | *καλυψατε* N P^3 c m^1 m^3: *σκεπασατε* m^2 p | *ησπασαμεθα — εσκεπασαμεν* N (× *παλιν*) P^3 c m^1: nur *εσκεπασαμεν* p | 4. *τραχηλου* N P^3 c m^1: *αυτου* + p und lässt hier die Weisung an Prochorus folgen (p. 163, 9 sqq.), ähnlich m^2 mit Auslassungen vorher; abkürzend m^3 | 5. *ενεγκαντες — μου* N P^3 c m^1 (+ *εμοι αδελφοι* zu *επιθ.*): *ενεγκατε μοι οθονην αδελφοι* p, *ενεγκαντες οθωνην καλιψατε το προσ. μου* m^3, über m^2 ist Amphil. nicht deutlich | 6. *ουκ οψ. με ουκετι* P^3 c m^3: *ουκετι οψ. με* N p m^1 (*με οψ.*), *ουκετι το προσωπον μου οψ.* m^2 | 7. *ημεις δε — κλαιοντες* N P^3 c m^1, wesentlich so m^3: *και επιπεσοντες αυτω ησπασαμεθα αυτον κλαιοντες πικρως* m^2, so bis *αυτον* p dann *εμπονως και κλαυσαντες ου μικρως* | 8. *και επισυρ. — πνευμα* N P^3 ähnlich m^3: *και διασκεπασαντες το προσωπον αυτου ως ο ηλιος ανετειλεν κ. αυτος παρεδ. τ. πνευμα και επεσυραμεν γην επι το προσωπον αυτου και εκρυβη εξ οφθαλμων ημων* m^2, ähnlich aber kürzer p; *και ειρηνην δους ημιν απελυσεν ημας* c m^1 | 10. *ειπον — αδελφοι* N P^3 m^1 c (> *ημιν*) m^3: *ειδον ημας οι λοιποι αδελφοι* (*μαθηται αυτου* m^2) *και ειπον* (*ειπεν προς ημας* m^2) p m^2 | *εστιν*: > p m^2 | 11. *ημων* P^3 m^2 m^3 p: > N c m^1 | *ειπ. δε αυτοις* N P^3 m^3: *κ. απηγγειλαμεν αυτοις* m^2 p, *ημεις δε διηγησαμεθα αυτοις* c m^1 | *τα γεγονοτα* N P^3 c m^1 m^3: *απαντα* m^2 p (+ *τα γεγενημενα*) | *οι δε παρεβ.* N etc.: *και παραβοσαντο* (?) m^2 | 12. *του δειξαι* N P^3: *επιδειξαι* c m^1, *υποδειξαι* m^3, *ακολουθησαι και δειξαι* m^2, *μετα δακρυων οπως δειξωμεν* p | *και ελθ.* (*απελθοντων* c m^1, *παραγενομων* m^2) *ημ.* P^3: *εισελθοντων ουν ημ.* N, *και ελθοντες* (> *εν τω τοπω*) p, *και απελθοντων ομοθυμαδον* (*εις τον τοπον*) m^3 | 13. *ορυξαντες* P^3: *εισορυξ.* N, *και ορυξ* m^3, *και διορυξ.* m^2, *και αναχωσαντες* p, > c m^1 | *ουδεν* N m^3: *ουδενα* P^3, *αυτον μεν ουχ* c m^1, *ουχ ευρ. ουδεν* m^2, *ουκετι ευρ. το τιμιον και αγιον σωμα του μακαριου αποστολου και ευαγγελιστου Ιωαννου* p | 13 — p. 165, 4. *και εκλαυσαμεν — αμην* N P^3

ἐστάθημεν δὲ εἰς προσευχήν, καὶ μετὰ τὴν εὐχὴν ἠσπασάμεθα ἀλλήλους καὶ εἰσήλθομεν ἐν τῇ πόλει, δοξάζοντες πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων. ἀμήν.

(die einzigen Varianten *σφοδρα. εστημεν* p. 164, 13 u. × *το* vor *αγιον* p. 165, 3 N, dagegen P > *και* vor *υιον* u. *νυν και αει* l. 3 und *ατελευτητους* l. 4): *και* (*τοτε* p) *κλαυσαντες απαντες ικανως* (*ου μικρως εκει* p) *εσταθημεν* (*εστημεν* p) *εις προσευχην και μετα την προσευχην* (*πληρωσαντες την ευχην ημων* p) *εξηλθαμεν* (*κατηλθομεν* p) *εκ του τοπου* (*εκεινου* + p), *δοξαζοντες πατερα κ υ. κ. αγ. πν. ω η δοξα κ. το κρ.* (*πρεπει πασα δοξα τιμη κ. προσκυνησις νυν και αει και* p) *εις τους αι. των αι. αμην* m² p, wieder anders m³. Nach *ευρομεν* p. 164, 13 schliessen c m¹ so: *αλλα μονον τα σανδαλια αυτου. και εμνησθημεν του ειρημενου* (*το ειρημενω τω* c) *Πετρω υπο του κυριου περι Ιωαννου* (*αυτου* c), *οτι εαν αυτον θελω μενειν εως ερχομαι, τι προς σε; εδοξασαμεν τε* (*και εδοξαμεν*? c) *επι τουτω τον πατερα και τον υιον και το αγιον πνευμα, οτι αυτω πρεπει η δοξα.* (so m¹, *ω πρεπει δοξα τιμη κ. προσκυνησις νυν κ. αει κ. εις τους αιω. των αιωνων. αμην.* c)

Beilagen zu Prochorus.

A. Eine Episode aus cod. Vatic. 455 zu p. 6, 5 obigen Textes nach Engelbreth (Birch auctar. p. 266—271).

Καὶ ἀποκριθεὶς ὁ Ἰωάννης εἶπεν· ἥμαρτον, Πέτρε, τῇ ὥρᾳ ταύτῃ καὶ μέλλω κατὰ θάλασσαν κινδυνεύειν· ὡς γὰρ ἔπεσεν ὁ κλῆρος τῆς Ἀσίας ἐπ᾽ ἐμέ, βαρέως ἤνεγκα· ἐμνήσθην γὰρ τοῦ ἡμετέρου διδασκάλου, τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἅπερ εἴρηκέ μοι περὶ τῆς ἁγίας θεοτόκου, τῆς τούτου μητρός, ἐπὶ σταυροῦ κρεμάμενος· ὅτι ἰδοὺ ἡ μήτηρ σου. καὶ οὐ δύναμαι αὐτὴν μόνην καταλιπεῖν ἐν τῇ γῇ ταύτῃ, μήπως οἱ Ἰουδαῖοι φθόνῳ κινηθέντες ἀποκτείνωσιν αὐτήν· πολλάκις γὰρ τοῦτο ἐβουλεύσαντο ποιῆσαι. πλὴν παρακαλῶ, εὔξασθε ὑπὲρ ἐμοῦ. οἱ δὲ ἀναστάντες καὶ σταθέντες κατὰ ἀνατολὰς ᾐτήσαντο Ἰάκωβον, τὸν ἀδελφὸν τοῦ κυρίου, εὐχὴν ποιῆσαι, καὶ τελέσαντος αὐτοῦ τὴν εὐχὴν ἀπελύθησαν εἷς ἕκαστος αὐτῶν εἰς τὸν ἴδιον κλῆρον μετ᾽ εἰρήνης· ἀπελύθη δὲ ἕκαστος (sic) *ὑπηρέτης ἀπὸ τῶν ἑβδομήκοντα, ἔλαχον δὲ κἀγὼ Πρόχωρος Ἰωάννῃ. ὁ οὖν θεολόγος, μὴ ἰσχύων τε ὡς ἐκδρομῆσαι ἐν τῷ ἰδίῳ κλήρῳ διὰ τὸ μὴ δύνασθαι αὐτὸν ἐάσαι τὴν παναγίαν θεοτόκον, ἀξιοῖ τὸν μακάριον Παῦλον, οὕτως λέγων αὐτῷ· ἀδελφὲ Παῦλε, διερχόμενος καὶ κηρύσσων τοῖς ἔθνεσι τὸν λόγον τῆς ζωῆς καὶ ἐπιστρέφων πάντα τὰ ἔθνη πρὸς κύριον τὸν θεὸν ἡμῶν, παραγενόμενος ἐν τῇ Ἀσίᾳ εἴσελθε καὶ ἐν Ἐφέσῳ, ἐν τῇ λαχούσῃ μοι πόλει, καὶ σπεῖρον ἐν αὐτῇ τὸν λόγον τῆς ἀληθείας καὶ τοῦ κυρίου Ἰησοῦ συνεργοῦντος προκατασκεύασαι λαὸν ἅγιον κυρίου. ὡς συμπαρόντος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ*

1. Ich lasse wörtlich Birch's Text abdrucken bis auf die angegebenen orthogr. Aenderungen. Nur die Accentuation ist meine Zuthat | 13. *τελησαντος* Birch | 17. *εκδρωμησαι* Birch | 24. *συνεργοντος προκατασκευασε* Birch

τοῦ ἐμοῦ πνεύματος ἀξιῶ σου δὲ τὴν ἀγάπην, ἀδελφέ, χρῖσαι αὐτοῖς καὶ ἐπίσκοπον, ἀνταναπληροῦντα τὸν ἐμὸν τόπον. ὁ δὲ Παῦλος ταύτην τὴν παράθεσιν τῶν λογίων παρὰ τοῦ θεολόγου εἰληφώς, πλήρης πνεύματος ἁγίου ὑπάρχων, ἐλθὼν ἐν Ἐφέσῳ καὶ εὑρὼν ψυχὰς προκαταρτισμένας ὑπὸ κυρίου εἰς σωτηρίαν καὶ εἰς ζωὴν αἰώνιον, ἔτι ἐπιμελησάμενος αὐτῶν τοὺς τῆς διδασκαλίας λόγους, ἔχρισεν αὐτοῖς καὶ ἐπίσκοπον Τιμόθεον, τὸν ἀγαπητὸν καὶ συνεργὸν μαθητήν, ὑπακοὴν πληρώσας ὁ μακάριος Παῦλος, ἣν ἐπετράπη παρὰ τοῦ μακαριωτάτου Ἰωάννου τοῦ θεολόγου. δεῦρο οὖν λοιπὸν εἰς τὸν τῆς διδασκαλίας ὅρον τοῦ θεολόγου παρακύψωμεν, καὶ εἰς τῆς πολιτείας αὐτοῦ θαύματά τε καὶ σημεῖα, ἅπερ ἐποίησεν ἐν Ἐφέσῳ καὶ ἐν ὅλῃ τῇ Ἀσίᾳ καὶ ἐν πόλει τῆς Μηλίτου, καὶ εἰς τὰς θλίψεις τὰς ἐπελθούσας αὐτῷ ἐν τῇ θαλάσσῃ καὶ ἐν Πάτμῳ τῇ νήσῳ ἐμβατεῦσαι ἀρξόμεθα. μετὰ γοῦν τὸ μετελθεῖν τὴν ἁγίαν θεοτόκον ἐκ ζωῆς πρὸς ζωήν, ἐκ τῆς προσκαίρου πρὸς τὴν αἰώνιον καὶ ἄληκτον βασιλείαν τῶν οὐρανῶν, εὐθέως ὁ θεολόγος καὶ ἀπόστολος, ὁ πνευματικὸς οὐρανός, ἡ ἀστραπὴ τῶν ἐν σκότει, ὁ ῥήτωρ τῶν λογίων τοῦ Χριστοῦ, ἡ βροντοειδὴς καὶ ὀμβροτόκος νεφέλη, ὑπὸ τοῦ πνεύματος τοῦ ἁγίου κινηθεὶς εἶπε πρός με, τὸν αὐτοῦ μαθητήν τέκνον Πρόχορε, δεῦρο πορευθῶμεν εἰς τὸν κλῆρον τὸν λαχόντα ἡμῖν παρὰ κυρίου. ἐγὼ γὰρ οἶδα, ὅτι πολλαὶ θλίψεις ἀπόκεινται ἡμῖν· πλὴν τὸ θέλημα τοῦ κυρίου γενέσθω. καὶ παραλαβών με κατήλθομεν ἀπὸ Ἱεροσολύμων εἰς Ἰόππην ἐπὶ τὸ πλεῦσαι ἡμᾶς ἐν τῇ Ἀσίᾳ. ἐμείναμεν δὲ ἐν Ἰόππῃ τρεῖς ἡμέρας παρὰ Ταβιθά, καὶ ἐλθόντος πλοίου ἀπὸ Αἰγύπτου κτλ.

B. Proben der Recension B.

I. Nach c m¹ m² v, theilweise auch p = p. 28, 3 sqq. obigen Textes = Amphilochius p. 11 sqq.

Ἰδοῦσα δὲ ἡ Ῥωμάνα τὸ γεγονός, ἐξέστη τὸ πνεῦμα αὐτῆς, καὶ φόβος καὶ τρόμος ἔλαβεν αὐτὴν καὶ οὐκέτι τὴν μνήμην

1. *χρισε* B. | 7. *Θιμοθεον* B. | 8. *συνηργον* B. | 19. *ομβροτοχος*: *ομυροτοχος* B. | 21. *μαθητον* B. | 31. *η Ρωμ.* c v p (> *η*): *εκεινη* m¹ m² | *τ. πνευμα αυ.* c m¹ v: > m² p | 32. *και ουκετι* -- *αυτω* p. 168, 13 c m¹ v: dafür in m² p nur *μη τολμωσα* (*καν* + p) *ατενισαι το προσωπον Ιωαννου και* (*ευθεως* + p) *πεσουσα εις τους ποδας αυτου κλαιουσα και οδυρομενη ειπεν*

εἶχεν περὶ τοῦ θανάτου Δόμνου, ἀλλ' ἐπὶ τῷ σημείῳ, ὃ ἐποίησεν ὁ Ἰωάννης, ἐξέστη καὶ ἀποπαγεῖσα τὴν καρδίαν ὡς λίθος ἔμεινεν ὡσεὶ νεκρά. εἶτα ὡς μετὰ δύο ὥρας εἰς ἑαυτὴν ἦλθεν καὶ οὐκ ἠτένιζεν εἰς τὸ πρόσωπον Ἰωάννου· αἰσχύνῃ γὰρ πολλῇ συνείχετο καὶ ἐζήτει ἀποθανεῖν λογιζομένη· ὅτι πῶς ἐμβλέψω εἰς ὃν τοσαῦτα ἠσέβησα καὶ εἰς δουλείαν ἐσυκοφάντησα καὶ πληγὰς τοσαύτας ἐπήγαγον ἀναιτίῳ ὄντι; πῶς ἐμαυτὸν καταχώσω; εἴθε χάνασα ἡ γῆ κατέπιέ με. τί ποιήσω; θάνατε, σὲ ἐπικαλοῦμαι πατέρα μου. ἰδὼν δὲ ὁ Ἰωάννης τὸ πρόσωπον τῆς γυναικὸς ἠλλοιωμένον, καὶ ὅτι μέλλει εἰς τὴν γῆν καταπίπτειν, λαβόμενος τῆς χειρὸς αὐτῆς καὶ κρατήσας αὐτὴν καὶ σφραγίσας τρίτον ἤγαγεν εἰς κατάστασιν. αὐτὴ δὲ πεσοῦσα εἰς τοὺς πόδας αὐτοῦ, κλαίουσα πικρῶς εἶπεν αὐτῷ· δέομαί σου, ἀνάγγειλόν μοι, τίς εἶ σύ· πάντως γὰρ ἢ θεὸς εἶ ἢ υἱὸς θεοῦ, [καὶ διὰ τοῦτο τοιαύτας δυνάμεις ποιεῖς]. εἶπε δὲ αὐτῇ ὁ Ἰωάννης· οὔτε θεός εἰμι οὔτε υἱὸς θεοῦ, ἀλλ' ἐγώ εἰμι Ἰωάννης, ὁ μαθητὴς τοῦ υἱοῦ τοῦ θεοῦ ζῶντος, ὁ ἀναπεσὼν ἐπὶ τὸ στῆθος αὐτοῦ καὶ ἀκούσας μυστήρια θεῖα. ἐὰν οὖν πιστεύσῃς αὐτῷ, ἔσῃ αὐτοῦ δούλη ὡς κἀγὼ δοῦλος αὐτοῦ εἰμι. ἡ δὲ μετ' αἰσχύνης καὶ τρόμου πολλοῦ εἶπε πρὸς Ἰωάννην· πρῶτον, ἄνθρωπε τοῦ θεοῦ, συγχώρησόν μοι ὅσα εἰς ὑμᾶς ἐγὼ ἡ ἀθλία

1. *Δομνου* m^1 v: *του* × c | *ο επ.* c m^1: *ω επ.* v | 2. *και* c v: *ο* × m^1 (?) | *αποπαγεισα . . ως λιθος εμεινεν* c m^1: *απεπαγη . . και εμεινεν* v | 3. *ειτα ως* c m^1: *επειτα* v | *ηλθεν και* m^1: *ηλθεν* c, *ελθουσα* v | 4. *ητεν.* c v: *ηδυνατο ατενισαι* m^1 | *Ιω.* m^1 v: *του* × c | *πολλη* c m^1: *αφατω* v | 5. *εζ. αποθ. λογιζ.* c m^1: *θανατος ηδυς ην εναντιον αυτης· ελογιζετο γαρ* v | *εμβλεψω — ησεβησα* m^1 v: > c | 7. *αναιτιω οντι* c m^1: *αναιτιως* vor *επηγαγον* v | 9. *πατερα μου* v s. oben p. 28, 13: dafür c m^1 *ελθε και απαλλαξον με της αισχυνης ταυτης* | *ιδων* c m^1: *ειδεν* v | 10. *της γυν.* c m^1: *του γυναιου* v | *και* vor *οτι* c m^1: > v | 11. *λαβομ.* c m^1: *και* × v | 13. *αυτου* c m^1 (s. vorher zu p. 167, 32 m^2 p): *Ιωαννου* v | 14. *σου*: + *κυριε* p | *παντως — θεου* c (*θεου υιος*) m^1 (> *ει*, ebenso m^2) p (> das erste *η*): > v | 15. *και δια — ποιεις* m^2 p: > c m^1 v | *ειπε δε κτλ.* c m^1 m^2 v: *ο δε Ιω. ειπεν αυτη* p | 16. *ουτε θεος — αλλ*: > nur v | 17. *του υιου* c m^1 m^2: *Ιησου* (sic) v, > mit mehrerem p | 18. *θεια* c m^1 m^2 (+ *παρ αυτου*) p (+ *παρ αυτου αναγγελλω σοι ακριβως*): > v | *ουν*: > nur p, der hier allmählig zur andern Recension übergeht | 19. *αυτου δου.* c v: *δου. αυτου* m^1 m^2 | *δουλος αυτου* c m^1 m^2: > v | 20. *ειπε πρ. Ιω.* c m^2 v: *λεγει παλιν πρ. αυτον* m^1 | *πρωτον* c m^1 v: > m^2 | 21. *μοι* c v: *σοι* m^1 m^2 | *οσα — επλημ.* c m^1 v: *α εποιησα εν λογω και εργω η αθλια και ανομος εγω* m^2 p (*εν σοι* statt *εγω*)

ἐπλημμέλησα. ὁ δὲ Ἰωάννης εἶπεν αὐτῇ· ἐὰν πιστεύσῃς εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, πάντα συγχωρηθήσεταί σοι τὰ ἁμαρτήματα. ἡ δὲ πρὸς αὐτὸν εἶπεν· πιστεύω, ἄνθρωπε τοῦ θεοῦ, πιστεύω πᾶσιν, οἷς ἐγὼ ἀκούω ἐκ τοῦ στόματός σου. ἀκούσας δὲ ὁ Διοσκορίδης τὸν θάνατον ἐξαίφνης τοῦ υἱοῦ αὐτοῦ παρ᾽ ἑνὸς τῶν παίδων, ἀμηχανίᾳ καὶ λύπῃ ἀρρήτῳ καταπλαγεὶς πεσὼν ἐξέψυξεν. δραμόντος δὲ καὶ ἑτέρου [ὀξυδρόμου τινὸς] ἀπαγγεῖλαι [αὐτῷ] τὴν τοῦ υἱοῦ αὐτοῦ Δόμνου ἀνάστασιν, καὶ εὑρὼν αὐτὸν τεθνεῶτα, ὑπέστρεψε μετὰ κλαυθμοῦ, ἔνθα ἦν ὁ Δόμνος σὺν τῷ Ἰωάννῃ, ἀπαγγέλλων αὐτῷ τὴν τελευτὴν τοῦ πατρὸς αὐτοῦ. ὁ δὲ ἀναχωρήσας ἀπὸ Ἰωάννου, ἀπελθών τε καὶ θεασάμενος τὸν πατέρα τὸν ἴδιον τελευτήσαντα, ὑπέστρεψεν πένθει πρὸς Ἰωάννην καὶ πεσὼν πρὸς τοὺς πόδας αὐτοῦ παρεκάλει αὐτὸν λέγων· ἄνθρωπε τοῦ θεοῦ, ὡς ἐμὲ νεκρὸν ὄντα ἐξανέστησας, δώρησαί μοι καὶ τὸν πατέρα μου τὸν δι᾽ ἐμὲ τελευτήσαντα· αἱρετώτερον γὰρ ἐμὲ μεῖναι νεκρὸν καὶ μὴ πατέρα νεκρὸν θεωρεῖν. ὁ δὲ Ἰωάννης [ἀπελθὼν καὶ] κρατήσας τῆς χειρὸς αὐτοῦ ἤγειρεν αὐτόν, λέγων τῷ Δόμνῳ· μὴ λυποῦ, τέκνον· ὁ γὰρ θάνατος τοῦ πατρός σου ζωὴν αὐτῷ καὶ σοὶ προξενήσει. παραλαβὼν οὖν ὁ Δόμνος τὸν Ἰωάννην εἰσήγαγεν πρὸς τὸν πατέρα αὐτοῦ· ἠκολούθει δὲ ἡ Ῥω-

1. *ειπεν* c v: *λεγει* m^1 m^2 | *αυτη* m^1 m^2 v: *προς αυτην* c | *πιστευσης εις* c m^1 m^2: *πιστευης επι* v | 2. *ημων*: *μου* m^2 | 3. *πρ. αυτον ειπεν* m^1 m^2: *λεγει πρ. αυτον* c. *εφη αυτω* v | 4. *πιστευω* v: > c m^1 m^2 | *εγω ακ.* hier v: hinter *σου* m^1 m^2, *εγω εκ τ. στομ. σου ακ.* c | 5. *εξαιφνης* hier v: vor *του θ.* c m^1 m^2 | 6. *παρ ενος — εξεψυξεν* v m^2 (+ *αυτου* hinter *παιδων*): *παραχρημα και αυτος εξεψυξεν* c m^1 | 7. *δραμοντος — προς Ιω.* l. 13 v m^2 (> das in [ ] Gesetzte, ferner *επεστρεψε* statt *υπεστρ.* l. 9, *απηγειλεν* (sic) statt *απαγγελλων* l. 10, *δε* statt *τε* l. 12, *ενθεν* statt *πενθει* l. 13): *και ελθων εις των παιδων αυτου οπου ην ο υιος αυτου Δομνος συν τω Ιωαννη απηγγειλεν* (*απηγειλεν* m^1) *αυτω μετα δακρυων* (*τον του πατρον αυτου θανατον* + c). *ο δε Δομνος δραμων εν τω οικω και θεασαμενος τον εαυτου πατερα νεκρον κειμενον υπεστρεψε μετα πενθους προς Ιω.* c m^1 | 13. *προς τους* c v: *εις τους* m^1 m^2 | 15. *εξανεστ.* m^2 v: *εζωοποιησας* c m^1 | 16. *τον* vor *δι* c v: > m^2 m^2 oder Amphil. | *αιρετωτ.* m^2 v: *αιρετον* c m^1 | *γαρ* m^1 v: *ην* + c m^2 | 17. *νεκρον* vor *πατερα* v | *θεωρειν* c m^1 m^2: *θεασασθαι* v | *ο δε*: nur v *και ο* | *απελθ. και* v: > c m^1 (m^2 nur *ο δε Ιω. ειπεν αυτω*) | 18. *αυτου* v: *του Δομνου* c m^1 | *τω Δ.* v: > c m^1 | 20. *και σοι* c m^1 (× *τε*): *αμφοτεροις* m^2, > v | *προξενησει* c m^1 m^2: *—νει* v | *παραλ.* c m^1: *συμπαραλ.* v, *και λαβομενος Δομνος της χειρος Ιωαννου* m^2 | *ο Δομνος* v cf m^2 vorher: *ο νεανιας* c m^1 | 21. *εισηγαγ.* v: *ηγαγεν αυτον* c m^1, *απιει* m^2 | *προς τ. π. αυτου* v m^2: *εν τω οικω προς τ. εαυτου πατερα* c m^1

μάνα ὀπίσω αὐτῶν καὶ πλῆθος λαοῦ. ὁ οὖν Ἰωάννης προσευξάμενος καὶ κρατήσας τῆς δεξιᾶς χειρὸς τοῦ Διοσκορίδους εἶπεν· ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ, τοῦ υἱοῦ τοῦ θεοῦ, ἀνάστηθι. παραχρῆμα δὲ ἀνέστη ὥστε πάντας θαυμάζειν καὶ ἐξίστασθαι. καί τινες αὐτῶν θεὸν ἔλεγον εἶναι Ἰωάννην, ἕτεροι δὲ μάγον· ἄλλοι δὲ ἔλεγον, ὅτι μάγος νεκρὸν οὐκ ἐγείρει. ὁ μέντοι Διοσκορίδης εἰς ἑαυτὸν ἐλθὼν εἶπε τῷ Ἰωάννῃ· σὺ εἶ, ἄνθρωπε τοῦ θεοῦ, ὁ καὶ τὸν υἱόν μου ζωοποιήσας; ὁ δὲ πρὸς αὐτὸν ἔφη· Ἰησοῦς ὁ Χριστός, ὁ υἱὸς τοῦ θεοῦ, ὁ δι' ἐμοῦ κηρυττόμενος, αὐτὸς ἐχαρίσατο ἀμφοτέροις ὑμῖν τὴν ζωήν. ἐὰν οὖν τούτῳ πιστεύσητε, καὶ τῆς αἰωνίου ζωῆς ἀξιωθήσεσθε. ὁ δὲ Διοσκορίδης πεσὼν εἰς τοὺς πόδας Ἰωάννου λέγει αὐτῷ· ἰδοὺ ἐγὼ καὶ ὁ υἱός μου καὶ πάντα τὰ ἐμὰ εἰς τὰς χεῖράς σου ἐσμέν. καὶ ἔδειξεν αὐτῷ πᾶσαν αὐτοῦ τὴν ὑπόστασιν λέγων· ταῦτα πάντα λαβὲ καὶ ποίησον ἡμᾶς δούλους τοῦ θεοῦ σου. εἶπεν οὖν αὐτῷ ὁ Ἰωάννης· οὔτε ἐγὼ τούτων χρῄζω, οὔτε ὁ θεός μου· καὶ γὰρ ἡμεῖς ἀφέντες πάντα ἠκολουθήσαμεν αὐτῷ. λέγει ὁ Διοσκορίδης· ποῦ ἠκολουθήσατε αὐτῷ; ἀποκριθεὶς δὲ ὁ Ἰωάννης ἤρξατο λέγειν αὐτῷ· ἄκουε λοιπόν, Διοσκορίδη, μυστηρίων θείων. ὁ πολυεύσπλαγχνος καὶ πανάγαθος θεὸς θεωρήσας ἅπαν τὸ τῶν ἀνθρώπων γένος χαλεπῇ πλάνῃ καὶ λατρείᾳ δαιμόνων κρατούμενον καὶ ἐν ἐσχάτῃ ἀγνωσίᾳ βυθιζόμενον, οἰκτείρας τὸ ἴδιον πλάσμα ἐξαπέστειλε τὸν ἴδιον υἱὸν

1. *οπισω αυ.* hier c m^1 m^2: hinter *λαος πολυς* (so statt *πληθος λαου*) v | *ουν*: *δε* v | *προσευξ.* c m^2 v: *εφ ικανον* + m^1 | 2. *κρατησας* c m^2 v: *λαβομενος* m^1 | 3. *του υιου*: > v | 5. *εξιστ.* m^2 v: *τους ουρανους* + c m^1 | *κ. τινες αυτων* c m^1 m^2: *τινες γαρ* v | *θεον — Ιωαννην* m^1 m^2 c (*τον* vor *Ιω.*): *ελεγον αυτον ειναι θεον* v | *ετεροι — εγειρει* m^2: nur bis *μαγον* v, *αλλοι* (*δε* + m^1) *ελεγον οτι μαγος εστιν* c m^1 | 7. *μεντοι*: *δε* v | *ειπε* m^2 v: *λεγει* c m^1 | *συ ει κτλ.* c m^1 v: *ανθρ. του θ., ο εγειρας νεκρους οντας τον υιον μου και εμε, δεομαι σου, αναγγειλον ημιν, τις ει συ. ειπεν δε Ιω. Ιησους Χρ. κτλ.* m^2 | 9. *ο Χρ.* m^1 v: *Χρ.* c m^2 | *υιος* hinter *θεου* v | 10. *κηρυττ.* m^1 m^2 v: *κρυπτομενος* c | *αυτος — ζωην* m^1 m^2 c (> *υμιν*): *αμφοτεροις εδωρησατο υμιν τ. ζωην* v | 12. *δε* c v: *ουν* m^1 m^2 | *Ιω.* v c (× *του*): *αυτου* m^1 m^2 | 14. *εσμεν* c m^1 v: *εισιν* m^2 | 15. *σου* c m^1 v (+ hier *δουλους*): + *γενεσθαι* m^2 | 16. *ουν*: *δε* v | *αυτω* m^1 v: > c m^2 | 17. *παντα* c m^1 m^2: *ταυτα* v | 18. *λεγει ο Δ.* m^1 m^2 c (× *και*): *ο δε εφη* v | *αποκρ. δε ο Ιω* m^1 m^2: *ο δε Ιω. αποκρ.* c, *ειπε δε Ιω.* v | 19. *ηρξ. λ.* c m^1: *λεγει* m^2, > v alles bis *θειων* | 20. *θειων* c m^1 (+ *διηγησεις*): *ενθεων* m^2 | 22. *λατρεια* hinter *δαιμ.* v | *κρατουμ.* c m^1 v: *κατακρατουμενον* m^2

εἰς τὸν κόσμον, γεννηθέντα ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου, καὶ εὐδόκησε προκόψαι αὐτὸν τῇ οἰκονομίᾳ τῆς σαρκὸς ὡς ἄνθρωπον καὶ διδάξαι τοὺς ἀνθρώπους ἀποστῆναι τῆς δαιμονικῆς πλάνης ἰάσασθαί τε πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν ἀνθρώποις. οἱ δὲ πρῶτοι τῶν Ἰουδαίων κατέκριναν αὐτὸν σταυρωθῆναι· οὕτως γὰρ ἦν αὐτῷ δεδογμένον. παθὼν οὖν σαρκὶ καὶ ἀποθανὼν ἑκουσίως ὑπὲρ ἡμῶν καὶ σκυλεύσας τὸν ᾅδην καὶ ἐλευθερώσας τὰς ἐκεῖσε ψυχὰς ἀνέστη τῇ τρίτῃ ἡμέρᾳ θεοπρεπῶς καὶ ἐνεφανίσθη ἡμῖν τοῖς δώδεκα ἀποστόλοις καὶ συνέφαγεν ἡμῖν καὶ συνέπιε καὶ ἐνετείλατο ἡμῖν πορευθῆναι εἰς ὅλον τὸν κόσμον καὶ διδάξαι καὶ βαπτίσαι πάντας εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ὁ οὖν πιστεύσας καὶ βαπτισθεὶς σωθήσεται, ὁ δὲ ἀπιστήσας κατακριθήσεται. ἀποκριθεὶς δὲ ὁ Διοσκορίδης λέγει αὐτῷ· ἄνθρωπε τοῦ θεοῦ, βάπτισον ἡμᾶς εἰς τὸ ὄνομα τοῦ θεοῦ σου. λέγει αὐτῷ ὁ Ἰωάννης· κέλευσον πάντας τοὺς ἐν τῷ οἴκῳ σου ἐξελθεῖν ἔξω. καὶ πάντων ἐξελθόντων ἰδοὺ ἦλθεν ἡ Ῥωμάνα, κατέχουσα τοὺς χάρτας ἤγουν τὰς ὠνὰς ἡμῶν καὶ ῥίψασα ἑαυτὴν εἰς τοὺς πόδας τοῦ Ἰωάννου κλαίουσα ἔλεγε· δέξαι καὶ διάρρηξόν μου τὰς ἁμαρτίας καὶ δώρησαί μοι τὴν ἐν Χριστῷ σφραγῖδα. ὁ δὲ λαβὼν τοὺς χάρτας καὶ διαχίσας αὐτοὺς αὐτῇ τῇ ὥρᾳ ἐβάπτισε τὸν Διοσκορίδην καὶ τὸν υἱὸν αὐτοῦ Δόμνον καὶ τὴν Ῥωμάναν. κατὰ δὲ παράκλησιν τοῦ Διοσκορίδους ἐξελθόντες ἀμφότεροι ἤλθομεν ἐν τῷ βαλανείῳ, ἔνθα ἐπετελοῦμεν τὰ ἔργα. καὶ εἰσελθὼν ὁ Ἰωάννης ἐν τῷ

2. *και ευδοκησε — ανθρωποις* l. 5 > v | *και* vor *ευδ.* c: > m^{1} m^{2} | *αυτον*: > m^{2} | 5. *μαλακιαν*: + *εγκειμενην* m^{2} | 6. *δεδογμενον* v: *δεδομενον* c m^{1} m^{2} (falsche Erinnerung an Joh. 19, 11) | 8. *κ. ελευθερ.* c m^{1} v: *ηλευθερωσεν* m^{2} | 9. *τη τρ. ημ.* c m^{1} v: *τριημερος* m^{2} | *θεοπρ. κ ενεφ. ημιν* c m^{1} m^{2}: *ενεφανισθη ημιν θεοπρ.* v | *δωδεκα* c m^{1} v: *ενδεκα* m^{2} | 10. *κ. συνεφ. ημιν*: > m^{2} | 11. *ολον* > v | 12. *παντας* in v am Rand nachgetragen | 13. *ο δε απιστ. κατακρ.*: > c | 14. *αποκρ. δε ο Διοσκ.* v (> *ο*) m^{2} (> *δε*) p (der hier wieder einlenkt): *ταυτα ειποντος του Ιωαννου αποκριθεις ο Διοσκ.* c m^{1} | *λεγει* c m^{1} m^{2}: *ειπεν* v p | 16. *κελευσον — τον Διοσκ.* l. 22 c m^{1} (abgesehn von einigen Unglaublichkeiten im Druck des Amphil.): *εξαποστειλον τους εν τω οικω σου εξω, και ως εγενετο τουτο* (*ουτως* m^{2}) *εβαπτισε Διοσκ.* (*αυτον* m^{2}) v m^{2}, ähnlich p, der aber zwischen *τουτο* u. *εβαπτισε* eine Variation des obigen Textes giebt | 24. *εξελθοντες* c m^{1} v: *εξηλθον* m^{2} | *ηλθομεν* c v: *ηλθον* m^{1}, *και εισηλθον* m^{2} | 25. *επετελ. τ. εργα* m^{2} v: *υπηρετουμεν* c m^{1} | *εν τω πρ.* m^{2} v: > c m^{1}

πριβάτῳ, ἔνθα ἦν τὸ πνεῦμα τὸ πνῖγον τοὺς ἀνθρώπους ἀπεδίωξεν αὐτό. καὶ λαβὼν ἡμᾶς Διοσκορίδης, ὑπεστρέψαμεν εἰς τὸν οἶκον αὐτοῦ καὶ παρέθηκεν ἡμῖν τράπεζαν, καὶ εὐχαριστήσαντες τῷ θεῷ μετελάβομεν τροφῆς καὶ ἐμείναμεν ἐκεῖ.

II. Nach c m^1 m^2 v = p. 42, 1 sqq. m. Textes = Amphiloch. p. 18 sqq.

Κατήγαγεν οὖν ἡμᾶς ἐκ τοῦ οἴκου καὶ παρέδωκεν αὐτοῖς. κρατούμενοι οὖν ὑπ᾽ αὐτῶν καὶ συρόμενοι παρήειμεν διὰ τοῦ ναοῦ τῆς Ἀρτέμιδος· ἠρώτα οὖν ὁ Ἰωάννης, τίνος εἴη ὁ μέγιστος οὗτος ναός. οἱ δὲ εἶπον· τῆς Ἀρτέμιδος ἱερόν ἐστι. παρεκάλεσε δὲ ὁ Ἰωάννης, μικρὸν ἐπιστῆναι τῷ τόπῳ, καὶ ἐκτείνας τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἐδέετο τοῦ θεοῦ, στεναγμοῖς ἀλαλήτοις ἐκτενῶς ἱκετεύων, ὅπως τὸ μὲν ἱερὸν καταπέσῃ, ἄνθρωπος δὲ μὴ πληγῇ. καὶ παραχρῆμα ἡ αἴτησις Ἰωάννου ἐπληροῦτο. ὡς οὖν τὸ πλεῖστον τοῦ ναοῦ κατερράγη, εἶπεν ὁ Ἰωάννης πρὸς τὸν παρεδρεύοντα τῷ βωμῷ τῆς Ἀρτέμιδος δαίμονα· σοὶ λέγω, πνεῦμα ἀκάθαρτον, τὸ προσεδρεῦον τῷ ναῷ τούτῳ. καὶ εἶπεν ὁ δαίμων· τί ἐστιν; ἔφη αὐτῷ ὁ ἀπόστολος· πόσον χρόνον ἔχεις οἰκῶν ἐνθάδε; καὶ εἰ σὺ τοὺς ταξεώτας καὶ τὸν ὄχλον τοῦτον ἐξήγειρας καθ᾽ ἡμῶν, ὁμολόγησον. ὁ δὲ δαίμων ἔκραξε λέγων· χρόνους μὲν ἔχω οἰκῶν ἐνταῦθα διακοσίους τεσσαράκοντα ἐννέα, πάντας δὲ τούτους ἐγὼ ἐξήγειρα καθ᾽ ὑμῶν. εἶπεν οὖν αὐτῷ ὁ Ἰωάννης· παραγγέλλω σοι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου, μηκέτι οἰκῆσαι ἐν τῷ τόπῳ τούτῳ. καὶ εὐθέως ἐξῆλθεν ὁ δαίμων ἀπὸ τῆς πόλεως. ἔσχεν οὖν πάντας θάμβος καὶ ἔκστασις, καὶ οἱ πλείονες

1. *πνευμα* m^2 v: *ακαθαρτον* × c m^1 | 2. *αυτο* c m^2 v: *εκειθεν* + m^1 | *υπεστρεψαμεν* c m^2 v: *—ψεν* m^1 | 3. *και παρεθ.* m^2 v: *παραθεις δε* c m^1 | *και* vor *ευχ.* c v: > Amphil. | 6. *κατηγ. ουν . . και παρεδ.* m^2 v: *καταγαγων* (*καταγων* c) *τοινυν . . παρεδ.* c m^1 | *οικου* c m^1 v: *αυτου* + m^2 | 7. *ουν* m^2 v: *δε* c m^1 | *παρηειμεν*: *παρειημεν* m^1 m^2, *παριημεν* v, *παρηεμεν* c | 8. *ειη* c m^1 m^2: *εστιν* v | 9. *της* > v | 11. *του θεου* > v | 12. *μεν* > c | *καταπεση* c m^2 v: *—σοι* m^1 | 13. *και* c m^1: *ουν* v, *δε* m^2 hinter *παραχρ.* | 15. *βωμω* m^2 v: *ναω* c m^1 | *δαιμονα* c m^1 m^2: vor *τ. βωμω* v | 16. *προσεδρ.* m^2 v: *παρεδρ.* c m^1 | 17. *αποστ.* m^2 v: *του κυριου* × c m^1 | 18. *και ει κτλ.* c m^1 m^2: *ειπε· και συ τους ταξ. κ. τον οχ. εκινησας καθ ημων* v | 21. *εξηγειρα* c m^1 v: *ηγειρα* m^2 | 22. *υμων*: *ημων* c | 23. *μηκετι* m^2 v: *του* × c m^1 | 24. *τ. τοπω τουτω* c m^2 (> *τω* nach Amphil.) v: *αυτω* m^1 | 25. *εσχεν — εκστασις* v m^2 (die Differenz der Wortstellung ist wohl das Werk des Amphil.): *ως δε ηκουσαν ταυτα και ειδον ο λαος, θαμβος και εκστασις ελαβε παντας* c m^1

αὐτῶν ἐπίστευσαν τῷ κυρίῳ, ὅσοι ἦσαν ἐν μέτρῳ ζωῆς. οἱ δὲ λοιποὶ λαβόντες ἡμᾶς παρέδωκαι τῷ ἀνθυπάτῳ, ἔχοντες συνεργὸν Μαραίωνά τινα Ἰουδαῖον, ὃς ἦν σφόδρα ἀγωνιζόμενος ἐπὶ τῇ ἀναιρέσει ἡμῶν καὶ διεβεβαιοῦτο τοῖς ἄρχουσι, μάγους ἡμᾶς ὑπάρχειν, καὶ ὅτι ἀπὸ Καισαρείας παρεγένετο ταξεώτης, τὰς καταθέσεις τῶν φαρμακειῶν αὐτῶν ἐπαγόμενος. βληθέντων οὖν ἡμῶν ἐν τῇ φυλακῇ ἐκέλευσεν ὁ ἄρχων ἀναζητεῖσθαι τὸν κατήγορον, καὶ ἐπὶ τρισὶν ἡμέραις μετὰ κήρυκος ἐπεζήτουν τὸν νομιζόμενον ταξεώτην ἐπὶ τὴν πόλιν ἅπασαν καὶ οὐδαμοῦ ἐφάνη. ὁ οὖν ἄρχων ἔφη· ἐγὼ ξένους ἀνθρώπους μὴ ὄντος κατηγόρου τοῦ κατ᾽ αὐτοὺς ἐγγραφομένου κολάζειν ἢ κρατεῖν οὐκ ἀνέχομαι. ἀποστείλας οὖν ἀπέλυσεν ἡμᾶς. πάσης δὲ τῆς πόλεως χαλεπαινούσης ἐπὶ τῇ καταπτώσει τοῦ ναοῦ τῆς Ἀρτέμιδος, καὶ ἑτέρων πολλῶν σημείων καὶ τεράτων γινομένων διὰ τῶν χειρῶν Ἰωάννου, ὥστε πλῆθος ἄπειρον ὑπακοῦσαι τῇ πίστει καὶ καταφρονῆσαι λοιπὸν τῆς περὶ τὰ εἴδωλα θεραπείας, ἀνηνέχθη ταῦτα πάντα τῷ τότε κρατοῦντι Ἀδριανῷ βασιλεῖ δι᾽ ἀναφορᾶς, ὅτι παρά τινων τῶν ἐν Ἐφέσῳ οἰκούντων, ὡς μαγικαῖς τισι τῶν λεγομένων Χριστιανῶν παραδόσεσιν ὑπαχθέντων, ἀθετοῦνται οἵ τε τῶν βασιλέων νόμοι καὶ τῶν μεγίστων θεῶν τὸ σέβας περιφρονεῖται, ὥστε καὶ τὰ κράτιστα τῶν παρ᾽

1. *αυτων* m^2 v: *αυτὴ τη ωρα* + c m^1 | *εν μετρω ζωης*: > v | 2. *εχοντες συν.* c m^2 v: *συν. εχων* m^1 | 3. *Μαραιωνα* c m^1: *—ρεωνα* v, *—ρωνα* m^2 | *τινα Ιου.* c v: *Ιου. τινα* m^1 m^2 | 4. *και διεβεβ.* m^2 v (hinter *αρχουσι*): *διαβεβαιουμενος* c m^1 | 5. *ημας*: *υμας* m^1 | 6. *τ. φαρμ. αυ. επαγ.* m^2 v (*αυτων* vor *τ. φαρμ.*): *επιφερομενος των φαρμ.* (*μαγειων* m^1) *αυτων* c m^1 | 7. *εκελευσεν*: *εκαλεσεν* c | 8. *κ. επι τρ. ημ.* c m^1: *επι τρ ουν ημ.* v, *τρεις ουν ημερας* m^2 | *κηρυκος* c m^1: *—ων* m^2 v. Weiterhin folge ich c m^1, da m^2 v von einander abweichen u. Amphil. wieder undeutlich über m^2 berichtet. In v heisst es *καθ ολην την πολιν προσεκαλουντο τον νομιζομενον ταξεωτην και ουκ εφανει* (darüber *η*) | 12. *ανεχομαι* c m^1 m^2: *—χω* v | *ουν*: *δε* v | *πασης κτλ.* c m^1 m^2: *και πασα η πολις εχαλεπαινε . . . πολλα δε και ετερα σημεια εγενοντο* v | 14. *και τερ.*: *τε* × c | 15. *των χ.* m^2 v: *του* c m^1 | 16. *και καταφρονησαι* c m^1 v (*καταφρονειν*): *καταφρονεισθαι δε . . . την θεραπειαν* m^2 | 17. *ανηνεχθη* c m^1: *δε* + m^2 v | *κρατουντι* c v: > m^1 m^2 | *Αδριανου* m^1 v: *Δομετιανου* c, > m^2 (?) | *βασιλει* hier v c (*τω β.*): vor dem Namen m^1 | 18. *οτι* v m^2: > c m^1 | *εν Εφ. οικ.* c m^1 v: *Εφεσιων οικητορων* m^2 | *ως* m^2: *οτι* + c m^1, > v | 19. *υπαχθεντων* m^2 v: *υπαχθεντες οι πλειστοι αθετουσι μεν τους των βασιλεων νομους, καταφρονησαντες δε και* c m^1 | 20. *τε των* v: *την* m^2 | 21. *ωστε και* m^2 v: > c m^1

αὐτοῖς ἱερῶν κατεδαφισθῆναι. γνοὺς οὖν ταῦτα ὁ βασιλεὺς ἀπέστειλε κέλευσιν μετὰ δέκα προτικτόρων, ἐχόντων στρατιωτικὴν βοήθειαν, ὥστε ἡμᾶς ἐξορίσαι κατὰ Πάτμον τὴν νῆσον, τὰ δὲ περὶ τῆς πόλεως καὶ τῶν ναῶν καὶ ἀρχαίων θεσμῶν ἀκριβέστερον διασκοπήσαντας ἀναγαγεῖν αὐτῷ.

Προφθάσας οὖν ὁ κύριος δι᾽ ὁράματος ἐγνώρισε τῷ Ἰωάννῃ, ὅτι δεῖ σε πολλὰ πειρασθῆναι καὶ ἐξορίᾳ ὑποβληθῆναι ἔν τινι νήσῳ, ἥτις μεγάλως σου χρῄζει. μετ᾽ ὀλίγας οὖν ἡμέρας ἐλθούσης τῆς τοῦ βασιλέως κελεύσεως ἐκρατήθημεν ὑπὸ τῶν προτικτόρων, καὶ τῷ μὲν Ἰωάννῃ ἀποτόμως ἐχρήσαντο, σιδήροις δήσαντες αὐτὸν ἀσφαλῶς, λέγοντες· ὅτι οὗτός ἐστιν ὁ δεινὸς πλάνος, ὁ τὰς μαγείας ποιῶν. ἐμοὶ δὲ πληγὰς ἐπιθέντες καὶ ἀπειλαῖς τροπωσάμενοι ἀφῆκαν ἀνετόν. ἀνελθόντων δὲ ἡμῶν ἐν τῷ πλοίῳ, ἕκαστος αὐτῶν τόπον ἐκράτησε, κελεύσαντες ἡμᾶς μέσον καθῆσθαι τῶν στρατιωτῶν. παρεῖχον δὲ ἡμῖν καθ᾽ ἡμέραν ἐξ οὐγγίας ἄρτου καὶ κοτύλην ὄξους καὶ ξέστην ὕδατος. τούτων βραχύ τι λαμβάνων ὁ Ἰωάννης ἐμοὶ τὸ πᾶν παρεχώρει. οὐκ ἐβούλοντο δὲ οἱ βασιλικοὶ εὐθυδρομῆσαι κατὰ τὴν Πάτμον διά τινας ἐπινοίας, ἀλλὰ καθ᾽ ἕκαστον σχεδὸν ἐμπόριον προσορμίζοντες ἐσπατάλων. τῇ οὖν ἐπαύριον πλεόντων ἡμῶν καθεσθέντες ἐπὶ ἄριστον, πολυτέλειαν ἔχοντες βρωμάτων, μετὰ τὸ φαγεῖν αὐτοὺς καὶ πιεῖν ἤρξαντο παίζειν καὶ φωναῖς ἀτάκ-

1. *κατεδαφ.* m^2: *κατ εδαφους κεισθαι* v, *κάτηδαφισαν* c m^1 | *γνους ουν ταυτα* m^2 v: *ταυτα μαθων* c m^1 | 2. *κελευσιν — προτ.* m^2 v (dieser aber 36 statt 10): *δεκα προτικτορας* c m^1 | *εχοντων στρ. βοηθ.* v: *εχοντας μεθ᾽ εαυτων στρ. βοη. και κελευσιν επιφερομενους* c m^1, > m^2, der dafür *περιεχουσαν ουτως* | 3. *τα δε — διασκοπ.* v m^2 (*του ναου*): *ακριβεστερον τε αυτους διασκ. τα περι των της πολεως ναων και αρχ. θεσπισματων* c m^1 | 5. *αναγαγειν* v: *αναγάγαι* c m^1 m^2 | 7. *οτι* m^2 v: *λεγων* × c m^1 | *εξορια υποβλ.* v m^2 (*υπομνησθηναι*): *εξορισθηναι* c m^1 | 11. *δησαντες αυ. ασφ.* v m^2 (ob ebenso gestellt?): *τουτον ασφ. πεδησαντες* c, *πεδησ. αυτον ασφ.* m^1 | *λεγοντες* c m^2 v: *ειποντες* m^1 | *οτι*: > v | 12. *εμοι*: *εμε* v | *και απ. τροπωσ.*: > v | 13. *ανετον*: *ανιατον* v | *ανελθ.* m^2 v: *εμβαντων* c m^1 | 14. *τω* c v: > Amphil. | 15. *παρειχον* c m^1 v: *εδιδοτο* m^2 | 16. *εξ ουγγ. αρτου* c m^1 v (× *εις τροφην*): *δυο λιτρας αρτους* (?) m^2 | *κ. κοτυλην οξ.* > m^2 | 17. *τουτον — Ιω.* m^2 v: *εξ ων βρ. τι ο Ιω. μεταλαμβανων* c m^1 | *εμοι — παρεχωρει* c m^1 m^2 (*παρειχεν*): *το παν εμοι παρεχωρει* v | 19. *προσορμ. εσπατ.* m^2: *προσορμ. ικανως εσπατταλων* (sic c, *επαταλων* m^1), *προσωρμιζον σπαταλωντες* v | 20. *καθεσθ.* m^2 v: *εκαθησαν* m^1, *εκαθεσθησαν* c | 21. *πολυτ. εχ. βρ.* c m^1 m^2: *πολυτελη* v | *μετα* v: *δε* + m^1 (m^2?) c | 22. *φωναις — ανακραυγ.* c m^1: *φωνας και κροτους ανακραζειν αταχτους* v, über m^2 berichtet Amphil. undeutlich

τοις καὶ κρότοις ἀνακραυγάζειν. εἷς δέ τις τῶν στρατιωτῶν νεανίσκος ἀποδραμὼν πρὸς τὴν πρῷραν τοῦ πλοίου διὰ χρείαν τινὰ ἔπεσεν ἐν τῇ θαλάσσῃ· ἦν δὲ καὶ ὁ τούτου πατὴρ ἐν τῷ πλοίῳ· βουληθέντος δὲ ἑαυτὸν ῥῖψαι μετὰ τοῦ ἰδίου υἱοῦ, οὐ συνεχωρήθη ὑπὸ τῶν λοιπῶν. ἦν οὖν θρῆνος ἐν αὐτοῖς καὶ κοπετὸς μέγας περὶ τοῦ νεανίσκου. ἔρχονται οὖν οἱ ἐν τῷ πλοίῳ, ἔνθα ἦν καθήμενος ὁ Ἰωάννης ἠσφαλισμένος, καὶ εἶπον αὐτῷ· ἄνθρωπε, πάντες ἡμεῖς πενθοῦμεν διὰ τὸ γεγονὸς ἐν ἡμῖν κακόν, καὶ πῶς σὺ μόνος εὐθυμότερος γέγονας. εἶπε δὲ πρὸς αὐτούς· καὶ τί θέλετε ἵνα ποιήσω. οἱ δὲ εἶπον· εἴ τι δύνασαι, βοήθει. εἶπεν ὁ Ἰωάννης πρὸς τὸν μείζονα αὐτῶν· ποῖον θεὸν σέβῃ; ὁ δέ φησι· τὸν Ἀπόλλωνα καὶ Δία καὶ Ἡρακλῆν. εἶτα λέγει τῷ δευτέρῳ· σὺ δὲ τίνα; ὁ δὲ εἶπεν· Ἀσκλήπιον καὶ Ἑρμῆν καὶ τὴν Ἥραν. καὶ ἁπλῶς ἕκαστος τὴν ἰδίαν πλάνην ὡμολόγουν. εἶπεν οὖν αὐτοῖς ὁ τοῦ Χριστοῦ ἀπόστολος· καὶ οἱ τοσοῦτοι ὑμῶν θεοὶ οὐκ ἰσχύουσι παραστῆσαι ὑμῖν τὸν παῖδα καὶ ἀλύπους ὑμᾶς διαφυλάξαι. οἱ δὲ ἀπεκρίθησαν λέγοντες· ἐπειδὴ οὐ καθαρεύομεν τὰ πρὸς αὐτούς, διὰ τοῦτο τιμωροῦνται ἡμᾶς. ὁ οὖν Ἰωάννης σπλαγχνισθεὶς ἐπὶ τῇ ἀπωλείᾳ τοῦ παιδὸς καὶ ἐπὶ τῇ τούτων πλάνῃ καὶ θλίψει εἶπε πρός με· τέκνον Πρόχορε, ἐπίδος μοι τὴν χεῖρά σου. δοὺς οὖν αὐτῷ χεῖρα, ἔστη ἐπὶ τῆς ἐξοχῆς τοῦ πλοίου καὶ διακρούσας τὰ σίδηρα καὶ στενάξας καὶ δακρύσας εἶπεν· ὁ θεὸς τῶν

2. πρῷραν c: προραν v Amphil. | δια χρ. τινα vor προς v | 3. εν τ. θαλ. c m^1: εις την θ. m^2 v | εν πλοιω m^1 m^2: τω αυτω πλ. c, εις το πλ. v | 4. βουληθεντος — λοιπων v m^2 (αυτου ριψαι εαυτον): ος ιδων τον εαυτου υιον πεσοντα εν τη θαλασση εβουληθη και αυτος ριψαι εαυτον εις την θαλασσαν αλλ υπο των λοιπων κωλυθεις ου συνεχωρηθη τουτο ποιησαι c m^1 | 5. εν αυτοις — νεανισκου c m^2 v: nur περι τ. νεανιου m^1 | 6. ερχονται — ησφαλ. m^2 v (ουν εν τω τοπω ενθα): και ελθοντες εν τω τοπω ενθα (ελθ. εν ω m^1) ην καθ. ο Ιω. (ησφαλισμενος + c) c m^1 | 7. και ειπον m^2 v: λεγουσιν c m^1 | 8. ανθρωπε m^2 v: ιδου × c m^1 | το γεγονος — κακον m^1 m^2: το κακον το εν ημιν γεγονος v, τ. εν ημ. γεγ. κακον c | 9. ευθυμοτερος c m^1 v: ευθυμος m^2 | 10 αυτους m^2 v: ο Ιωαννης + c m^1 | ειπον c m^1 v (+ αυτω): λεγουσιν m^2 | 11. ειπεν m^2 v (× ο δε Ιω.): λεγει c m^1 | 12. φησι: εφη v | Δια m^2 v: Διαν c m^1 | 15. ωμολογουν m^2 v (ομωλ.): ωμολογει c m^1 | ειπεν m^2 v: λεγει c m^1 | αυτοις: > m^2 | Χριστου m^2 v (nach αποστ.): κυριου c m^1 | 16. τοσουτοι: > m^2 | 17. οι δε: > v | 20. ειπε c m^2 v (dieser vor ο Ιω. ohne ουν l. 19): λεγει m^1 | 21. Προχορε m^2 v: + αναστα και c m^1 | σου: > v | 22. της εξοχης m^2 v: τη εξοχη c m^1

αἰώνων, ὁ τῶν ἁπάντων δημιουργός, οὗ τῷ νεύματι πᾶσα ἡ τῶν κτισμάτων ἕπεται φύσις, ὁ μόνος παντοδύναμος καὶ παμβασιλεὺς Ἰησοῦ Χριστέ, ὁ τὴν πρὸς ἡμᾶς οἰκονομίαν πληρῶν, ὁ εὐδοκήσας περιπατῆσαι ἐπὶ θαλάσσης ὡς ἐπὶ ἐδάφους ἀβρόχοις ποσίν, ὁ ἐπαγγειλάμενος ἡμῖν αἰτεῖν παρὰ σοῦ ὁλοψύχως καὶ λαμβάνειν μεγαλοδώρως, αὐτὸς δέσποτα, παρὰ τοῦ σοῦ Ἰωάννου ἱκετευόμενος τάχυνον εἰσακοῦσαί μου· κράτει γὰρ βραχίονός σου τίς ἀντιστήσεται; ἔτι δὲ τοῦ θεολόγου προσευχομένου γέγονεν ἦχος τῆς θαλάσσης καὶ σάλος μέγας, ὥστε παρ᾽ ὀλίγον κινδυνεῦσαι πάντας· καὶ ὑψωθὲν κῦμα ἐκ δεξιῶν τοῦ πλοίου ἀπέρριψε τὸν παῖδα ζῶντα παρὰ τοὺς πόδας τοῦ Ἰωάννου. πάντες δὲ τοῦτο θεασάμενοι, πεσόντες ἐπὶ πρόσωπον προσεκύνησαν αὐτῷ καὶ εἶπον· ἀληθῶς ὁ θεός σου θεὸς οὐρανοῦ καὶ γῆς καὶ θαλάσσης. εὐθὺς οὖν ἦραν τὰ σίδηρα ἀπ᾽ αὐτοῦ καὶ ἐν παρρησίᾳ πολλῇ διῆγε μετ᾽ αὐτῶν.

Ἐλθόντων δὲ ἡμῶν ἐν κώμῃ τινὶ ὀνόματι Κατοικίᾳ παρεβάλομεν, καὶ πάντων εἰς τὴν γῆν ἐξελθόντων μόνοι ἡμεῖς μετὰ τῶν φυλασσόντων ἡμᾶς ἐμείναμεν ἐν τῷ πλοίῳ. περὶ δὲ δυσμὰς ἡλίου παραγενομένων αὐτῶν συνεῖδον οἱ ναῦται ἀναχθῆναι ἡμᾶς [καὶ ἐξελθόντες ἐκεῖθεν ἐπλέομεν]. περὶ δὲ πέμπτην ὥραν τῆς νυκτὸς γίνεται λαῖλαψ μέγας ἐν τῇ θαλάσσῃ, ὥστε κινδυνεύειν τὸ πλοῖον. πάντων δὲ τὸν θάνατον προορωμένων εἶπον οἱ προτίκτορες τῷ Ἰωάννῃ· ἄνθρωπε τοῦ θεοῦ, τὸν νεανίαν παραδόξῳ θαύματι διὰ προσευχῆς ζῶντα ἀνήγαγες ἐκ τοῦ βυθοῦ τῆς θαλάσσης· καὶ νῦν δεήθητι τοῦ θεοῦ σου πάλιν, ὅπως κουφίσῃ ἀφ᾽ ἡμῶν τὸν μέγαν κλύδωνα τοῦτον, μήποτε ἀπολώμεθα. εἶπε δὲ ὁ Ἰωάννης πρὸς αὐτούς· ἡσυχάσατε ἕκαστος ἐν

1. *ο των απαντων*: nur *παντων* v | *νευματι πασα η των*: > m^2 | 2. *των κτισμ. επ. φυσις* c m^1 m^2: *κτισις επεται* v | 3. *προς ημας*: + *και δι ημας* c | *πληρων* m^2 v: *πληρωσας* c m^1 | 4. *αβροχοις*: *επι* × v | 5. *αιτειν*: *αιτεισθαι* v | 6. *αυτος*: *ουτος* m^2 | *του σου Ιωαννου*: *εμου του σου δουλου* v | 7. *εισακουσαι*: *—σας* v | *κρατει γαρ*: *τω γαρ κρ.* v | 8. *θεολογου* m^2 v: *αποστολου* c m^1 | 10. *παντας* c m^1 v: *ημας* × m^2 | 12. *τουτο*: *τουτον* v | *πεσοντες*: *επεσον* m^2 | 13. *σου*: *αυτου* v | *θεος ουρ.* v: *ουτος* × c m^1, *υιος θεου και ουρανου* m^2 | 14. *θαλασσης*: + *ποιητης και εξουσιαστης* m^2 | 15. *διηγε* m^2 v: *διηγομεν* c m^1 | 16. *κατοικια* c v: *κατοικιω* m^1, *οικια* m^2 | 18. *εμειναμεν*: *κατελειφθημεν* v | 20. *και εξ. εκ. επλ.* c m^1: > m^2 v | 23. *τω Ιω.* m^2 v: > c m^1 | 24. *παραδ. θαυμ.* m^2 v: *παραδοξως* c m^1 | *προσευχης*: + *σου* m^2 | *ζωντα* vor *δια* nur v | 26. *απολωμεθα* c m^2 (+ *εν τη θαλασση*): *απολλωμεθα* m^1 v | 27. *ησυχησατε* m^1 | *εκαστος*: + *υμων* m^1 | *εν τω τοπω*: *εις τον τοπον* v

τῷ τόπῳ αὐτοῦ. τοῦ δὲ κλύδωνος μᾶλλον ἐξεγειρομένου ἀναστὰς προσεύξατο, καὶ εὐθέως ἐκόπασεν ὁ ἄνεμος, καὶ ἡ θάλασσα κατέστη τοῦ σάλου αὐτῆς. προσορμισθέντων δὲ ἡμῶν ἐν Μύρωνι, νόσος δυσχερὴς ἐπῆλθεν ἑνὶ τῶν προτικτόρων καὶ ἐκινδύνευε δυσεντερίᾳ συνεχόμενος. ἐποιήσαμεν οὖν ἐκεῖσε ἑπτὰ ἡμέρας, καὶ τῇ ὀγδόῃ ἡμέρᾳ φιλονεικούντων αὐτῶν πρὸς ἑαυτοὺς καὶ τῶν μὲν λεγόντων· ὅτι οὐκ ὀφείλομεν· βραδύνειν ἐνταῦθα καὶ ῥαθυμεῖν τὰ τῆς κελεύσεως τοῦ βασιλέως, τῶν δὲ ἀντιλεγόντων, μὴ εἶναι πρέπον καταλιπεῖν ἐκεῖσε τὸν ἀρρωστοῦντα ἑταῖρον ἢ ἐμβαλεῖν ἐν τῷ πλοίῳ τοιαύτῃ ἀνάγκῃ κρατούμενον, εἶπεν ὁ Ἰωάννης πρός με· ἀνάστηθι, τέκνον, καὶ ἀπελθὼν εἰπὲ τῷ ἀσθενοῦντι· εἶπεν Ἰωάννης ὁ ἀπόστολος τοῦ Χριστοῦ· ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ δεῦρο πρός με ὑγιής. ἀπῆλθον οὖν καὶ εἶπον αὐτῷ κατὰ τὸν λόγον Ἰωάννου, καὶ ἀναστὰς παραχρῆμα ἠκολούθησέ μοι καὶ ἦλθε πρὸς Ἰωάννην, μὴ ἔχων αἰτίαν ἐν ἑαυτῷ ἀσθενείας. καὶ λέγει αὐτῷ· λάλησον τοῖς σοῖς ἑταίροις, ὅπως ἀναχθῶμεν ἐντεῦθεν. καὶ ἀπελθὼν ὁ ἑβδόμην ἡμέραν ἐν ἀσιτίᾳ καὶ κινδύνῳ θανάτου κατακειμενος προετρέπετο τοὺς ἑταίρους αὐτοῦ τοῦ εὐθύμως ἀποπλέειν ἡμᾶς. πάντες δὲ τὸ γεγονὸς θαῦμα ἰδόντες προσέπεσον τῷ ἀποστόλῳ λέγοντες· ἰδοὺ πᾶσα ἡ γῆ ἐνώπιόν σου· ὅπου ἂν κελεύῃς, βάδιζε· ἔγνωμεν γάρ σε ἀληθινοῦ θεοῦ ὑπηρέτην

2. *προσευξαντο* m^2 | *ευθεως* m^1 m^2: *ευθυς* hinter *εκοπασεν* v, > c | *και η — αυτης* m^2 v: *και ο σαλος της θαλασσης κατεστη* c m^1 | 4. *και εκινδυνευε κτλ.* m^2 v: *η λεγομενη δυσεντερια και ταυτη σφοδρα συνεχομενος εκινδυνευε προς το αποθανειν* c m^1 | 6. *αυτων πρ. εαυτους* v m^2 (*ναυτων?*): *προς αλληλους* ohne *αυτων* c m^1 | 7. *μεν*: *μετα* m^1 | *βραδυνειν*: > m^1 | 8 *του* (*σου* m^2?) *βασιλεως* v m^2: > c m^1 | 9. *αντιλεγ.* m^2 v: *αντεπαγοντων* c m^1 | 10. *τω πλ.* c m^1 m^2: *πλοιω εν* v | 12. *απελθων ειπε* m^1 m^2 v: *απελθε ειπον* c | 13. *εν τω ον. Ι. Χρ.* > m^2 | 14. *Ιω.* c v: *του* × m^1 m^2 | 16. *αιτιαν εν ε.* v m^2 (*αιτ.* hinter *εαυτω*): *τι εν ε.* m^1 c (+ *λειψανον*) | *αυτω* m^2 v: + *ο Ιωαννης* c m^1 | 17. *σοις*: *σου* vor *οπως* v | *εταιροις*: *ετεροις* c m^1 m^2, *συνεταιροις* v | *αναχθ.*: *αναχωρησωμεν* m^2 | 18. *εβδ. ημ.* c m^1 m^2: *εν εβδομη ημερα* v | *θανατου* m^2 v: > c m^1 | 19. *προετρ.* v: *προσετρ.* c m^1 m^2 | *εταιρους* c v: *ετερους* m^1 m^2 | *του*: > v | *ευθυμως* c m^1 v: *δια ταχους* m^2 | *αποπλ. ημας* c m^1 m^2: *τουτω συναποπλειν* v | 20. *παντες — λεγοντες* c m^1 v: hier giebt m^2 die oben p. 54, 21—56, 9 abgedruckte Erzählung *απαραντες δε απο Μυρωνος*. Mit *ιδου* l. 21 lenkt m^2 wieder ein | *αν*: *εαν* v | 22. *κελευης* c v: *κελευσης* m^1, *βουλει* m^2 | *εγνωμεν — οντα* c m^1 v: *και ημεις πορευσομεθα εις τους τοπους ημων* m^2

ὄντα. ὁ δὲ εἶπεν αὐτοῖς· οὐχ οὕτως, τέκνα, ἀλλ' ἔνθα προσετάγη ὑμῖν ἀποκαταστήσατέ με, ἵνα καὶ παρὰ τῷ ἀποστείλαντι ὑμᾶς εὐπροσωπήσητε. οἱ δὲ κατηχηθέντες ὑπ' αὐτοῦ ἐβαπτίσθησαν τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ ἀπάραντες ἐκεῖθεν ἤλθομεν εἰς Πάτμον τὴν νῆσον καὶ παρεβάλομεν ἐν πόλει καλουμένῃ Φλορᾷ, καὶ παραδόντες ἡμᾶς κατὰ τὴν κέλευσιν τοῦ βασιλέως τοῖς ὀφείλουσιν ἡμᾶς παραλαβεῖν, ἤθελον τῇ προθέσει τῆς ψυχῆς συνεῖναι ἡμῖν. ὁ δὲ Ἰωάννης εἶπεν αὐτοῖς· τέκνα, τῆς χάριτος ἠξιώθητε, μὴ ἀποπέσητε αὐτῆς, καὶ τόπος οὐ μὴ βλάψῃ ὑμᾶς. ποιήσαντες οὖν μεθ' ἡμῶν ἡμέρας δέκα ἀγαλλιώμενοι καὶ διδασκόμενοι ὑπὸ Ἰωάννου, ἐπευξάμενος αὐτοῖς καὶ εὐλογήσας ἕκαστον αὐτῶν ἀπέλυσεν αὐτοὺς ἐν εἰρήνῃ, παραθέμενος αὐτοὺς τῷ θεῷ, εἰς ὃν πεπιστεύκασιν· ὅτι αὐτῷ πρέπει πᾶσα δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Τὰ περὶ Μύρωνος.

Ἦν δέ τις ἐν Φλορᾷ τῇ πόλει ὄνοματι Μύρων, τὸ δέ ὄνομα τῆς γυναικὸς αὐτοῦ Φωνή. ἦσαν δὲ αὐτῷ υἱοὶ τρεῖς ῥήτορες, καὶ ὁ ἀνὴρ πλούσιος, καὶ ὑπηρεσία πολλὴ ἦν αὐτῷ· τῷ δὲ μείζονι αὐτοῦ υἱῷ ὑπῆρχε πνεῦμα Πύθωνος. ὁ οὖν Μύρων ἰδὼν ἡμᾶς ἔλαβεν ἐν τῷ οἴκῳ αὐτοῦ· ἐγνωκὼς οὖν ὁ τὸν Πύθωνα ἔχων υἱὸς αὐτοῦ ὑπεχώρησεν εἰς ἕτερον τόπον, ὅπως μὴ διωχθῇ τὸ πνεῦμα ὑπὸ Ἰωάννου. μαθὼν οὖν τοῦτο ὁ Μύ-

1. *ο δε ειπεν αυτοις* c m^1 v (dieser schiebt *Ιωαννης* ein): *ειπεν δε Ιω. προς αυτους* m^2 | 3. *κατηχθ.* m^1 m^2 v: *κατηχθεντες* c | *εβαπτ. τη* m^2 v: *εβαπτ. απαντες υπ αυτου εν τη* c m^1 | 4. *εις Π. τ. νησον* m^2 v: *εν Πατμω τη νησω* c m^1 | 5. *πολει καλ.* m^2: > c m^1 v | *Φλορα* c m^1: *Φορα* m^2, *Φρουρα* v | 6. *και παραδ.* c v: *παραδ. δε* m^1 m^2 | *κατα — βασιλ.* hier c v: vor *ηθελον* m^1 m^2 | *ημας* c v: > m^1 m^2 | 7. *παραλαβειν* c m^1 v: *φυλαττει* (?) m^2 | *της ψ.* hier m^2 v: *της ψ. δια παντος* hinter *ημιν* c m^1 | 8. *χαριτος* m^2 v: + *ης* c m^1 | 9. *αποπ. αυτης* m^2: *αποστητε* c m^1, *παραπεσητε* v | *υμας* c v: *ημας* Amphil. | 10. *ουν* c m^1 v: *και* vor *ποιησ.* m^2 | *μεθ ημων* m^2 v: *συν ημιν* c m^1 | *δεκα* c m^1 v (vor *ημερας*): *τινας* m^2 | *αγαλλιωμενοι* c v, *αγαλλομενος* m^1, *—ιωμενος* m^2 | *και διδ.* > c | 11. *Ιω.* c v: *του* × m^1 m^2 | *αυτοις*: > m^2 | 13. *πασα* m^2 v: > c m^1 | 14. *αμην* m^2 v: > c m^1 | 15. *τα* m^2 v: > c m^2, auch der Paris. 523 | *Μυρ.* c v^2 Paris. 523: *του* × m^1 m^2 | 16. *Φλορα* c m^1 m^2: *Φορα* v | 17. *αυτω*: *αυτοις* m^1 | *τρεις* vor *υιοι* v | 18. *ο ανηρ*: × *ην* m^1 | *πλουσιος* v c (+ *σφοδρα*): *ο πλουσιος* Amphil. | *ην*: *προσην* v | 19. *υπηρχε*: *ενωκει* m^1 | 20. *ημας*: + *ξενους οντας* m^1, hinter *οικω αυτου* + derselbe *και καθοσον εδει εθεραπευσεν* | 22. *Ιω.* c v: *του* × m^1 m^2

ρων εἶπε πρὸς τὴν γυναῖκα αὐτοῦ· εἰ ἦσαν οἱ ἄνθρωποι οὗτοι ἀγαθοί, οὐκ ἂν συνέβη ἡμῖν τι δυσχερὲς εἰσελθόντων αὐτῶν ἐν τῷ οἴκῳ ἡμῶν· ἀλλά, καθώς τινες ἐξηγοῦνται, μάγοι εἰσὶν καὶ μαγεύσαντες τὸν οἶκον ἡμῶν ἐδίωξαν τὸν υἱὸν ἡμῶν. εἶπεν δὲ ἡ γυνὴ αὐτοῦ πρὸς αὐτόν· καὶ εἰ ταῦτα οὕτως ἔχει, τίνος ἕνεκεν οὐ διώκεις αὐτοὺς ἀπὸ τοῦ οἴκου ἡμῶν, μήποτε καὶ εἰς τοὺς ἄλλους ἐνεργήσωσιν. ὁ δὲ Μύρων εἶπεν αὐτῇ· οὐ διώκω αὐτοὺς μετὰ τὸ ποιῆσαι τὸ κακόν, ἀλλ᾽ ἐμβάλλω αὐτοὺς εἰς θλῖψιν, ὅπως ἀναγκασθῶσι παραστῆσαι τὸν υἱὸν ἡμῶν ἐν τῷ οἴκῳ ἡμῶν ζῶντα, καὶ τότε αὐτοὺς τιμωρήσομαι πικρῶς. ἦν δὲ ὁ Μύρων πενθερὸς τοῦ ἡγεμόνος τῆς Πάτμου. ἔγνω οὖν ὁ Ἰωάννης τῷ πνεύματι τὰ λαληθέντα ὑπὸ Μύρωνος πρὸς τὴν γυναῖκα αὐτοῦ καὶ εἶπε πρός με· τέκνον Πρόχορε, γίνωσκε ὅτι ὁ Μύρων κακὰ διανοεῖται καθ᾽ ἡμῶν. εὐχαρίστως οὖν ὑπενέγκωμεν τοὺς πειρασμούς· οὕτως γὰρ ἡμῖν μὲν ὁ μισθὸς πλεονάσει, τούτοις δὲ ὁ φωτισμὸς τοῦ Χριστοῦ ἀναλάμψει. καὶ τῶν λόγων τούτων μεταξὺ ἡμῶν λαλουμένων ἦλθεν ἐπιστολὴ τῷ Μύρωνι παρὰ τοῦ πρώτου υἱοῦ αὐτοῦ, τὸν τύπον ἔχουσα τοῦτον·

Τῷ ἐμῷ δεσπότῃ καὶ πατρὶ Μύρωνι Ἀπολλωνίδης ὁ ῥήτωρ. Ἰωάννης ὁ μάγος, ὁ παρὰ σοῦ ἐν τῷ οἴκῳ δεξιωθεὶς κακίστῃ περιεργίᾳ χρησάμενος στέρησιν ὑμῖν τέκνου ἀντὶ τῆς καλλίστης φιλοξενίας ὁ δείλαιος ἐμηχανήσατο. τὸ γὰρ ὑπ᾽ ἐκείνου ἐπαποσταλέν μοι πνεῦμα οὐ μικρῶς με διαταράξαν μέχρι ταύτης τῆς πόλεως κατεδίωξεν. περιτυχὼν οὖν τῷ καθαρωτάτῳ Κύνωπι καὶ ἀναθέμενος αὐτῷ τὰ τῆς συμφορᾶς, οὐκ ἄλλως με ἔφησε

1. ειπε m^2 v: λεγει c m^1 | ανθρωποι m^2: ανδρες c m^1 v | 4. εδιωξαν m^2: εξεδιωξαν c m^1 v | ημων c v: υμων Amphil. | ειπεν δε m^1 m^2: ειπεν v, και ειπεν c | 6. απο c m^1: εκ m^2 v | 7. ενεργ. c m^1 v (—σουσιν): + και εξ αμφοτερων αστοχησαντες ημεις τελευτησομεν πικρως m^2 | ο δε Μ. ειπεν αυτη c v: λεγει αυτη ο Μ. m^1, και ειπεν Μ. προς την γυναικα αυτου m^2 | 8. εμβαλλω: εμβαλω v | 9. εν τ. οικω ημων v cf m^2 (ζωντα τω οικω ημων): > c m^1 | 10. πικρως m^1 v (vor τιμωρ.): > c m^2 | 13. αυτου c v: εαυτου m^1 m^2 | ειπε m^2 v: λεγει c m^1 | 14. κακα: κατα Amphil. | 15. πλεονασει c m^1 v: πλεοναζει m^2 | 16. τουτοις: τοις m^2 | 17. ηλθεν hier c m^1 (× ιδου) m^2: hinter επιστ. v | 18. τον — τουτον m^2 v: ταδε περιεχουσαν c m^1 | 21. οικω c m^1 v: + ημων m^2 | 22. υμιν c m^1 v (hier ursprünglich ημιν): > m^2 | της: > v | 23. ο δειλαιος: > m^2 | επαποστ. m^1 m^2 v: εξαποστ. c | 26. εφησε c m^1 m^2: εφη v

τοῦ ἰδίου οἴκου κύριον γενέσθαι ἢ γονικῆς κληρονομίας καὶ ἀδελφῶν ἀπολαύειν φιλοστοργίας, πρὶν ἂν Ἰωάννην τὸν ἐξόριστον, τὸν τῶν Χριστιανῶν μύστην καὶ μάγον, θηρίων γενέσθαι βοράν. σπεῦσον οὖν πάτερ πρὸς τὴν τούτου ἀναίρεσιν, εἰ περὶ πολλοῦ ποιῇ τὴν πρὸς ἐμέ, τὸ σὸν τέκνον, διάθεσιν. ἔρρωσο πανοικί.

III. Nach c m^1 m^2 (v hat den Abschnitt nicht) = p. 128, 8 — 134, 3 m. Textes, Amphil. p. 53 sqq.

Λαβόμενοι δὲ τοῦ Ἰωάννου καὶ πληγὰς βαρείας καὶ πολλὰς ἐπιθέντες αὐτῷ, δήσαντες αὐτὸν ἔσυραν ἐκ τοῦ τόπου καὶ ἀφῆκαν ἡμιθανῆ κείμενον. ἐκεῖνοι δὲ ἀπῆλθον τελέσαι τὴν ἑορτὴν τῆς αἰσχροπραγίας αὐτῶν. ὡς οὖν εἰσῆλθον ἐν τῷ ἱερῷ κατὰ τὸ εἰωθὸς αὐτοὶ μόνοι, ὥστε ἐκτελέσαι τὰ δαιμονικὰ μυστήρια καὶ ἀπογεύσασθαι πρῶτοι τῶν μιαρῶν εἰδωλοθύτων ἀλισγημάτων, ὁ Ἰωάννης κείμενος ἐπὶ τῆς γῆς προσηύξατο λέγων· ὁ θεὸς καὶ πατὴρ τῆς ἐλπίδος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ ἐπὶ τοῦ γενναίου Σαμψὼν τοὺς μεγίστους οἴκους τῶν ἀλλοφύλων καταβαλών, καὶ νῦν τὸν ναὸν τῆς ἀσωτίας καταστραφῆναι εὐδόκησον. ἔτι δὲ τοῦ Ἰωάννου προσευχομένου, ἰδοὺ ὁ ναὸς ἠδαφίσθη ὅλος ἐκ θεμελίων, κατελείφθησαν δὲ ἐν αὐτῷ καὶ ἀπέθανον οἱ δώδεκα ἱερεῖς μόνοι.

Περὶ Νοτιανοῦ καὶ παντὸς τοῦ οἴκου αὐτοῦ. Ἀνὴρ δέ τις ἦν ἐν τῇ πόλει ἐκείνῃ, Νοητιανὸς ὄνομα αὐτῷ καὶ ὄνομα τῇ γυναικὶ αὐτοῦ Φορά. τούτῳ ὑπῆρχον δύο υἱοί· ὄνομα τῷ μεί-

1. *τ. ιδιου οικου κ. γεν.* c m^1: *του ιδ. οι. ηγεισθαι* m^2, *εισοδιον τω οικω μου γενεσθαι* v | *κληρον.* c m^1: > v m^2, dieser müsste nach Amphil. haben *γονικης αδελφων απολαυσεως αξιωθηναι πριν αν* | 2. *τον εξορ. τον* c m^1: *τον εξορ.* v, > m^2 | 3. *θηριων* v: + *ανημερων* c m^1, + *ατιφασσων* (?) m^2 | *γεν. βοραν* m^2 v (*βορραν*): *βοραν ποιησης* c m^1 | 4. *σπευσον*: *σπευδε* v | 5. *το σον — διαθεσιν* c m^1 m^2: *τον σον φιλτατον φυσικην διαθεσιν* v | 10. *επιθ. αυτω* c: *αυτω επιθ.* m^1 m^2 | *εκ τ. τοπου* c: *εξω τ. τ.* m^2, > m^1 | 11. *ημιθανη* c m^1 (Amphil. liess *ημιφανη* drucken): *τουτον κεισθαι* + m^2 | *τελεσαι*: *επιτελεσθαι* m^1 | 12. *αυτων* c: > m^1 m^2 | 16. *ημων* c m^1: > m^2? | 18. *και νυν* c m^1: *αυτος* × m^2 | 19. *του Ιω.* c m^2: *του αποστολου* m^1 | 20. *ηδαφισθη* c: *ηδιαφισθη* m^2, *συνεποθη και ηδιαφ.* m^1 | *ολος εκ* c: *ολως εως* m^1 m^2 | *κατελειφθησαν* c: *—ληφθησαν* m^1 m^2 | 21. *και απεθ. κτλ.* c: *οι μεν ιερεις εκεινοι μονοι οι δωδεκα και απεθανον* m^2, ebenso, nur *αισχρως εναπεθανον* m^1 | 22. *περι — αυτου* c: *τα περι Νοητιανου του μαγου του γαρ* (!) *φαντασιας ποιουντος* m^2, > m^1 | 24. *τουτω υπηρχον* c m^1: *τουτοις* m^2

ζονι Ῥὼξ καὶ τῷ νεωτέρῳ Πολύκαρπος. εἶχε δὲ ὁ Νοητιανὸς πεῖραν μαγικῆς κακοτεχνίας καὶ βιβλία πολλὰ ὑπὸ δαιμόνων συντεθειμένα. ὡς οὖν εἶδε τὸ ἱερὸν διὰ τῆς ἐπικλήσεως Ἰωάννου συμπεπτωκὸς καὶ τοὺς ἱερεῖς ἀποθανόντας, ἐλυπήθη σφόδρα καὶ θυμὸν δαιμονιώδη κατὰ Ἰωάννου ἀνέλαβε. πᾶς γὰρ ὁ λαὸς δραμόντες ἔλυσαν τὸν Ἰωάννην καὶ προσπίπτοντες παρεκάλεσαν, μὴ ὀργισθῆναι αὐτοῖς. ὁ οὖν Νοητιανὸς εἶπε τῷ Ἰωάννῃ· ἰδοὺ πάντες ἀγαπῶμεν καὶ πειθόμεθά σοι καὶ οὐκ ἐγκαλοῦμεν ἐπὶ τῇ καταστροφῇ τοῦ ἱεροῦ· πλὴν αἰτούμεθά σε, ὅπως τελείως πληροφορήσῃς ἡμᾶς, ὅτι ἔστιν εὐθύτης ἐν τῇ καρδίᾳ σου καὶ ζῶντα θεὸν καταγγέλλεις ἡμῖν, ἀνάστησον τοὺς δώδεκα ἱερεῖς τοὺς καταχωσθέντας ἐν τῷ ναῷ. ὁ δὲ Ἰωάννης εἶπεν αὐτῷ· εἰ ἦσαν ἄξιοι ἀναστῆναι, οὐκ ἂν μόνοι οἱ δώδεκα ἐτελεύτησαν. ὁ οὖν Νοητιανὸς λέγει τῷ Ἰωάννῃ· ἐγὼ μὲν δόξαν περιποιούμενός σοι ταῦτα φθέγγομαι πρός σε· ἢ ἀνάστησον τοὺς τεθνηκότας, καὶ πιστεύσω κἀγὼ τῷ ἐσταυρωμένῳ, ἢ εἰδέναι ἔχεις, ὅτι ἐμοῦ ἀνιστῶντος αὐτοὺς ἐσχάτῃ τιμωρίᾳ ὑποβληθήσῃ αὐτὸς ὡς καταστροφεὺς τοῦ κρατίστου ναοῦ. λέγει αὐτῷ ὁ Ἰωάννης· μὴ πλανῶ, Νοητιανέ, μαγείαις καὶ ψευδέσιν ἐλπίσιν ἐπερειδόμενος. τοῦ οὖν Ἰωάννου διδάσκοντος τὸν λαόν, ἀναχωρήσας ὁ Νοητιανὸς ἐν πολλῇ δυσμενείᾳ καὶ περιελθὼν τὴν ἐρήμωσιν τοῦ ναοῦ δι' ἐπικλήσεως δαιμονικῆς ἐποίησε παραστῆναι αὐτῷ δώδεκα δαίμονας ἐν μορφαῖς τῶν δώδεκα ἱερέων καὶ εἶπεν αὐτοῖς· δεῦτε ὀπίσω μου, ὅπως ποιήσωμεν ἀποκτανθῆναι τὸν Ἰωάννην. οἱ δὲ εἶπον· οὐ δυνάμεθα

3. *συντεθημενα* m^1 m^2 | *ως ουν ειδε* c m^2: *ουτος ο Νοητιανος ως ειδεν* m^1 | 4. *συμπεπτ.* hier c: vor *δια της* m^1 m^2 | 5—7. *και θυμον — ειπε* c m^2 (dieser jedoch *ανελαβεν. ο γαρ πας* und l. 7 *παρεκαλουν*): *ιδων δε και παντα τον λαον ελθοντας και λυσαντας τον αποστολον προσπιπτοντας τε αυτω και παρακαλουντας μη οργισθηναι αυτοις λεγει και αυτος ο Νοητιανος* m^1 | 9. *ιερου*: *ναου* m^2 | *σε*: *σου* m^2 | 10. *τελειως* c: $>$ m^1 m^2 | 11. *καταγγελεις* c | 12. *δωδεκα*: $>$ m^1 | *τους καταχ. εν τ. ναω* c: *τους εν τω ναω* (*ιερω* m^1) *καταλωσθεντας* m^1 m^2 | 13. *ειπεν*: *λεγει* m^2 | 14. *ο — λεγει* c: *λεγει ο Ν.* m^1 m^2 | *Ιω.* c m^2: *αποστολω* m^1 | 15. *περιποιουμενος* c m^1: *περιποιων* m^2 | *σοι* vor *περιπ.* m^1 | *προς σε* hier c: vor *φθεγγομαι* m^1 m^2 | 16. *και* c m^1: *ινα* m^2 | *πιστευω* m^1 | *καγω* c m^2 (hinter *εσταυρ.*): $>$ m^1 | *ειδεναι εχεις* c m^2: *γνωθι* m^1 | 18. *αυτος*: $>$ c | *καταστροφης* m^2 | *κρατιστου*: $>$ c | 19. *μαγειαις κ. ψευδεσιν* c m^1 (*μαγειας*): *ματαιως* m^2 | 21. *και περιελ.* c: *περιελ. τε* m^1 m^2 | 23. *μορφη* m^2 | 24. *ποιησωμεν* c m^2: *παρασκευοσωμεν* (!) m^1

ἐγγίσαι αὐτῷ, ἀλλ᾽ ἰδοὺ ἡμεῖς στήκομεν ἐνταῦθα, σὺ δὲ ἀπελθὼν φέρε τὸν λαόν, καὶ ἰδόντες ἡμᾶς πιστεύσουσι καὶ ἀπελθόντες λιθοβολήσουσι τὸν Ἰωάννην καὶ ἀποθανεῖται. ἔγνω οὖν ὁ Ἰωάννης τῷ πνεύματι καὶ λέγει μοι· ἡνίκα παραγένηται ὁ Νοητιανὸς ἐνταῦθα, σὺ πορεύθητι δι᾽ ἑτέρας ὁδοῦ ὄπισθεν τῆς πτώσεως τοῦ ναοῦ καὶ εὑρήσεις ἐκεῖ δώδεκά τινας ἱσταμένους ἐν μορφῇ τῶν ἱερέων καὶ εἰπὲ αὐτοῖς· λέγει ὁ ἀπόστολος τοῦ Χριστοῦ Ἰωάννης, ἀφαντώθητε ἐκ τῆς νήσου ταύτης εἰς τόπους ἀνύδρους. ἔτι δὲ λαλοῦντος τοῦ Ἰωάννου πρός με, ἦλθεν ὁ Νοητιανὸς κράζων καὶ λέγων· ἄνδρες ἀδελφοί, μέχρι τίνος ἀκούετε τῶν διεστραμμένων λόγων τοῦ ἀπαταιῶνος τούτου· ἰδοὺ γὰρ ὡς ὑπεσχόμην τοὺς ἱερεῖς ἀνέστησα, οὓς εἶπεν αὐτὸς ἀναξίους τοῦ ζῆν, μέλλω δὲ καὶ τὸ ἱερὸν ἀνεγείρειν, ἐὰν αὐτὸν θανατώσητε. ἐλθόντες λοιπὸν ἅπαντες παρεκτὸς τοῦ πλάνου ὄψεσθε ἐρρωμένους τοὺς ἄνδρας. οἱ δὲ ὄχλοι ἀκούσαντες περὶ τῆς ἐγέρσεως τῶν ἱερέων ἠκολούθησαν τῷ Νοητιανῷ, μηκέτι τοῦ Ἰωάννου φροντίσαντες, καὶ ἀνερχόμενοι ἐδιδάσκοντο ὑπὸ Νοητιανοῦ τὸ πῶς ἀπολέσωσι τὸν Ἰωάννην. ἐλθόντες οὖν ἐπὶ τὸν τόπον, ἔνθα ἐνόμιζον εὑρίσκειν τοὺς λεγομένους ἱερεῖς, καὶ μηδένα ἰδόντες ἐξέστησαν· πορευθεὶς γὰρ ἐγὼ κατὰ τὴν ἐντολὴν τοῦ ἀποστόλου ἠφάντωσα αὐτούς. ὁ μέντοι Νοητιανὸς κατεδαπανᾶτο ἐν αὐτῷ μυρίαις ἐπικλήσεσι, μὴ δυνάμενός τι πρᾶξαι. πολλὰς οὖν ὥρας ὁ ὄχλος προσκαρτερήσας τῷ τόπω ἀνωφελῶς, ἤρξαντο πάντες σκληρῶς ἐπιφέρεσθαι τῷ Νοητιανῷ καὶ λέγειν· ὅτι πλάνος ὑπάρχων ἐφάντασας ἡμᾶς ἀπὸ τῆς ζω-

1. *στηκομεν* c m^2: *ισταμεθα* m^1 | *συ δε απ.* c m^1: *απ. ουν* m^2 | 2. *φερε* c m^2: *αγαγε* m^1 | *πιστευσ. και απ.*: > m^2 | 3. *λιθοβολησωσι* m^1 | 4. *ουν* ∴ *ταυτα* + m^1 | *λεγει*: *ειπεν* m^2 | *μοι* c: *τεκνον* m^2, + *τεκνον Προχωρε* m^1 | 7. *ιερεων* c: *δωδεκα* × m^2, *τεθνηκοτων* × m^1 | *αποστ.* hier c: hinter *Χριστου* m^1 m^2 | 8. *αφαντ.*: + *συντομως* m^1 | 9. *ανυδρους*: + *και αοικητους* m^1 | *λαλουντος*: + *κατ ιδιαν* m^2 | 10. *ηλθεν* c m^2: *και ιδου* m^1 | 11. *απαταιωνος* m^1 m^2: *απαιται.* c | 12. *τ. ιερεις* hier c: hinter *ανεστησα* m^1 m^2 | 13. *αναξιους* c m^2: *ειναι* + m^1 | *δε*: + *παρευθυ* m^1 | *ανεγειρειν*: *εγειρειν* m^2 | 14. *αυτον*: *τουτον* m^2 | *λοιπον*: *ουν* m^2 | *απαντες* c: *παντες* m^1 m^2 | 15. *οψεσθε* c: + *ζωντας και* m^1, + *ζωντας* m^2 | 17. *μηκετι τ. Ιω. φροντισ.* c m^1: *μικρα τ. Ιω. φροντιζοντες* m^2 | *κ. απερχ.* c m^1: *απερχομενων αυτων* m^2 | 18. *ελθοντες ουν* c m^1: *ελθοντων ουν αυτων* m^2 | 19. *λεγομενους* c: *αναστaντας δηθεν* m^1, > m^2 | 20. *εγω* c: > m^1 m^2 | 22. *κατεδαπανατο εν αυτω* c m^2: *κατεδαπανα εαυτον* m^1 | 23. *ο οχλος προσκ. τ. τοπω* c: *ο οχ. εκεισε προσκ.* m^1, *προσκαρτερησαντες το* (!) *τοπω* m^2 | 25. *ημας* c m^1: + *και απεστησας* m^2

τικῆς διδασκαλίας· καὶ νῦν ποίοις ὀφθαλμοῖς ἐπιστρέψομεν πρὸς αὐτόν, μετὰ τοσαύτην διδαχὴν ἐγκαταλιπόντες αὐτὸν καὶ σοὶ πεισθέντες τῷ ἀπαταιῶνι. τινὲς δὲ ἐξ αὐτῶν ἐζήτουν ἀποκτεῖναι τὸν Νοητιανὸν λέγοντες· ὃν τρόπον ἐπονηρεύσατο ποιῆσαι τῷ διδασκάλῳ, οὕτω ποιήσωμεν αὐτῷ. ἄλλοι δὲ διεκώλυον αὐτοὺς λέγοντες· ὅτι οὐ δεῖ χωρὶς γνώμης τοῦ ἀποστόλου πρᾶξαί τι προπετές. ἐλθόντες τοίνυν πρὸς Ἰωάννην εἶπον αὐτῷ· διδάσκαλε, δεόμεθα τῆς σῆς ἀγαθότητος μακροθυμῆσαι ἐπὶ τοῖς σοῖς τέκνοις, ἐφ᾽ οἷς ἀνοήτως τὴν πηγὴν τῆς γλυκύτητος καταλείψαντες ἐπορεύθημεν ὀπίσω χολῆς καὶ πικρίας. ἰδοὺ οὖν ὁ πλάνος ὁ τούτου αἴτιος γεγονώς, ὁ καὶ σοὶ ἐπιβουλεύσας εἰς θάνατον· τὸ γοῦν παριστάμενόν σοι πράξομεν ἐπ᾽ αὐτόν· ἔνοχος θανάτου ἐστίν. ὁ δὲ Ἰωάννης εἶπεν αὐτοῖς· τεκνία, ἄφετε τὴν σκοτίαν εἰς τὸ σκότος ὑπάγειν, ὑμεῖς δὲ υἱοὶ φωτὸς ὄντες πορεύεσθε εἰς τὸ φῶς, καὶ σκοτία οὐ μὴ φθάσῃ ὑμᾶς, ὅτι ἡ ἀλήθεια τοῦ Χριστοῦ ἐν ὑμῖν ἐστι. καὶ οὐκ ἀφῆκεν αὐτοὺς θανατῶσαι τὸν Νοητιανόν. παρεκάλουν δὲ οἱ πλείοντες τοῦ λαοῦ τὸν Ἰωάννην, ὅπως ἀξιωθῶσι τοῦ φωτισμοῦ τοῦ Χριστοῦ· ὁ δὲ ἀπέλυσεν αὐτοὺς εἰς τοὺς οἴκους αὐτῶν, ὅτι ἑσπέρα ἦν καὶ κέκλικεν ἡ ἡμέρα. τῇ οὖν ἐπαύριον συνήχθησαν σχεδὸν οἱ πάντες πρὸς Ἰωάννην, ἀξιοῦντες φωτισθῆναι. ὁ δὲ Ἰωάννης ἐπένευσε, καὶ μυσταγωγήσας αὐτοὺς καὶ καταγαγὼν ἐν τῷ ποταμῷ ἐβάπτισεν· ἦσαν δὲ οἱ φωτισθέντες ἄνδρες διακόσιοι εἴκοσι. ὁ μέντοι Νοητιανὸς οὐκ ἐπαύσατο τῆς κακουργίας, ἀλλ᾽ ἐπεχείρει διὰ πλειόνων ἐκκόψαι τὴν τῶν βαπτιζομένων προθυμίαν. γνοὺς δέ ὁ Ἰωάννης εἶπε· κύριε Ἰησοῦ Χριστέ, ὁ ἐπὶ Ἐλισσαίου τοῦ προφήτου τοὺς ἐπ᾽ αὐτὸν παραγενομένους πατάξας ἀορασίᾳ, αὐτὸς πάταξον καὶ τὸν Νοητιανὸν πηρώσει τῶν ὀμμάτων αὐτοῦ τῶν σωματικῶν, ὅπως ἀναβλέψῃ πρός σε τοῖς τῆς ψυχῆς ὀφθαλμοῖς. εὐθέως δὲ ἐτυ-

2. αυτον c m^1: Ιωαννην m^2 | διδαχην c m^1: διδασκαλιαν m^2 | 3. πεισθεντες c m^2: + και ακολουθησαντες m^1 | τινες δε εξ αυτων c m^1: ετεροι δε m^2 | 4. τ. Νοητ. c m^1: αυτον m^2 | 6. ου δει c m^1: ουδεις m^2 | 7. προπετως m^2 | 8. μακροθυμησον m^2 | 10. καταλειψαντες c m^2: καταλιποντες vor της γλυκ. m^1 | και vor πικριας: > c | 11. τουτου c: τουτων m^2 m^1 (dieser + ημιν nach αιτιος) | σοι: συ c | 12. γουν c: ουν m^1 m^2 | 13. ενοχος c: γαρ + m^1 m^2 | 14. σκοτειαν c | 18. του λαου: > m^2 | του Χριστου: > m^2 | 22. και vor καταγ.: > m^2 | 24. επαυσατο c m^1: εληξε m^2 | 25. επεχειρησεν m^2 | 29. των ομματων αυτου τ. σωμ. c: του σωματος οφθαλμων m^1 m^2 | αναβλεψη m^1 m^2: —ει c | 30. τοις c m^1: εν × m^2 | οφθαλμοις c m^2: + και σωτηριας αξιωθη m^1

φλώϑη ὁ Νοητιανὸς καὶ χειραγωγούμενος ἦλϑε πρὸς Ἰωάννην κτλ.

C. Ueber die Abfassung der Apokalypse nach N (Neander p. 654 — 658), P^3, m^3 (Amphil. p. 64 sq.) s. oben zu p. 160, 5.

Ἐξελϑόντων δὲ ἡμῶν ἀπὸ τῆς πόλεως ἀπὸ σημείων τριῶν ἐν τόπῳ ἡσυχαστικῷ, εὕρομεν σπήλαιον ἐν αὐτῷ τῷ τόπῳ καὶ ἐμείναμεν ἐκεῖ δέκα ἡμέρας· ἦν δὲ καὶ ὕδωρ ἐν τῷ σπηλαίῳ. πληρουμένης δὲ τῆς ἡμέρας εἰσηρχόμην ἐγὼ ἐν τῇ πόλει καὶ ἤσϑιον μετὰ τῶν ἀδελφῶν. ὁ δὲ Ἰωάννης ἦν ἐν τῷ σπηλαίῳ τὰς δέκα ἡμέρας ἄσιτος διατελῶν. τῇ οὖν δεκάτῃ ἡμέρᾳ ἠβουλήϑη εἰσελϑεῖν ἐν τῇ πόλει, καὶ κλίνας τὰ γόνατα καὶ προσευξάμενος ὅπως ἐξέλϑῃ, ἐγένετο φωνὴ πρὸς αὐτὸν λέγουσα· Ἰωάννη, Ἰωάννη. ὁ δὲ εἶπεν· τί ἐστι, κύριε; καὶ εἶπε πρὸς αὐτόν· ποίησον ἐν τῷ σπηλαίῳ ἄλλας δέκα ἡμέρας, καὶ ἀποκαλυφϑήσεταί σοι μυστήρια πολλὰ καὶ μεγάλα ἐν τῷ τόπῳ τούτῳ. καὶ πάλιν ἐποίησεν ἄλλας δέκα ἡμέρας ἄσιτος διατελῶν, καὶ ἐγένετο ἐν ἐκστάσει μεγάλῃ, καὶ εἶδεν δυνάμεις πολλὰς καὶ μεγάλας καὶ ἄγγελον ϑεοῦ διακρίνοντα αὐτῷ ἃ εἶδεν καὶ ἤκουσεν. καὶ πάλιν προσκαλεσάμενός με εἶπε· τέκνον Πρόχορε. καὶ εἶπον· τί ἐστι, διδάσκαλε; καὶ εἶπεν· εἴσελϑε ἐν τῇ πόλει καὶ λαβὲ χάρτας καὶ μέλαν καὶ ἐλϑὲ ἐνταῦϑα. καὶ εὐϑέως ἐγὼ εἰσῆλϑον καὶ ἐπεκόμισα τὸ μέλαν καὶ τοὺς χάρτας καὶ ἐπορεύϑην πρὸς Ἰωάννην, καὶ εἶπε πρός με· ἅπερ ἀκούεις ἐκ τοῦ στόματός μου γράψον ἐπὶ τοὺς χάρτας. καὶ ἀνοίξας τὰ χείλη αὐτοῦ ἤρξατο λέγειν, κἀγὼ ἔγραφον. ἐποιήσαμεν δὲ

6—13. *εξελϑοντων — φωνη* N P^3 (dieser aber *εισερχομην* l. 9): *ελϑοντες τοινυν επι τι σπηλαιον ο ην απο σημ. τρ. της πολεως, εχον υδωρ, εμειναμεν εκει δεκα ημερας. και ο μεν Ιωαννης ασιτος διετιαν* (?) *ησυχαζων και προσευχομενος, εγω δε εν τη πολει πορευομενος πληρουμενης της ημερας ησϑιον μετα των αδελφον. τη ουν δεκατη ημερα ηβουληϑη και ο Ιω. εισελϑειν εν τη πολει, και κλινας τα γονατα προσηυχετο. εγενετο δε φωνη* m^3. Es ist unnöthig, alle Abweichungen dieser schlechten Hs. anzugeben | 14. *Ιωαννη* P^3 m^3: *Ιωαννης* N zweimal | *τι*: > m^3 | *ειπε* P^3: *ειπεν* N hier u. im gleichen Fall durchweg, m^3 hier, nur weil er *αυτω* statt *προς αυτον* folgen lässt | 18. *μεγαλη* P^3 m^3: > N | *πολλας και* N: > P^3 m^3 | 19. *α ειδεν* N (*ιδεν*) m^3: *και ειδε* P^3 | 21. *Προχωρε* P^3 | 22. *ενταυϑα* N m^3: *ενϑαδε* P^3 | 23. *επεκομισα* N: *απεκομησαμην* P^3, abkürzend *και εποιησε* (lies *εποιησα*) *ουτως* m^3 | 25. *εκ* P^3 m^3: *παρα* N | *γραψον* P^3 N (× *ταυτα*): *γραφε* m^3

δύο ἡμέρας, αὐτὸς λέγων κἀγὼ γράφων. καὶ πάλιν εἰσήλθομεν ἐν τῇ πόλει καὶ κατελύσαμεν ἐν τῷ οἴκῳ Σωσιπάτρου, καὶ παρέθηκεν ἡμῖν τράπεζαν, καὶ ἐφάγομεν καὶ ἐπίομεν καὶ ἐμείναμεν παρ᾽ αὐτῷ. καὶ τῇ ἐπαύριον εἶπεν Ἰωάννης πρὸς Σωσίπατρον· τέκνον, ζήτησόν μοι καὶ ἄλλας μεμβράνας εἰς γραφὴν τῆς ἀποκαλύψεως. καὶ ἤνεγκε τὰς μεμβράνας ὁ Σωσίπατρος, καὶ εἶπεν Ἰωάννης πρός με· τέκνον, διατύπωσον τὰς μεμβράνας καὶ καθαρογράφησον ἐν αὐταῖς τὴν ἀποκάλυψιν ταύτην. ἐγὼ δὲ μετὰ πάσης ἐπιμελείας ἔγραψα ἐπὶ τῶν σωμάτων τὴν ἀποκάλυψιν. μετὰ δὲ τὸ ἀπογράψαι με αὐτήν, προσκαλεσάμενος Ἰωάννης τοὺς ἀδελφούς, εἰσήλθομεν ἐν τῇ ἐκκλησίᾳ καὶ εἶπεν Ἰωάννης πρός με· τέκνον, λαβὲ τὸ βιβλίον τοῦτο τῆς ἀποκαλύψεως καὶ ἀνάγνωθι αὐτὸ ἐν τοῖς ὠσὶ πάντων τῶν ἀδελφῶν. καὶ ἔλαβον τὸ βιβλίον καὶ ἀνέγνων αὐτὸ ἀκουόντων πάντων τῶν ἀδελφῶν, καὶ ἐχάρησαν πάντες χαρὰν μεγάλην. καὶ εἶπεν Ἰωάννης· λάβετε τὸ βιβλίον τοῦτο τῆς ἀποκαλύψεως καὶ μεταγράψατε αὐτὸ καὶ ἀπόθεσθε αὐτὸ ἐν πάσαις ταῖς ἐκκλησίαις. καὶ ἔδωκεν αὐτοῖς τὸ ἐν δέρμασι, καὶ κατείχομεν ἡμεῖς τὸ ἐν χάρταις. τῇ οὖν ἐπαύριον κτλ. cf. p. 160, 6.

D. Der Schluss des Prochorus im cod. Paris. 1468 fol. 80r. — 82r. s. oben zu p. 156, 1.

Πάλιν οὖν μετὰ ἡμέρας τινὰς εἶδεν ὁ Ἰωάννης τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν ὀπτασίᾳ λέγοντα αὐτῷ· ἄνελθε ἐν τῷ ὄρει καὶ ἀποκαλύψω σοι μυστήρια μεγάλα καὶ φρικτὰ ἃ μέλλει μετὰ ταῦτα γενέσθαι καὶ ἀνελθόντων ἡμῶν ἐποίησεν ἐν τῷ ὄρει ἄσιτος προσευχόμενος ἡμέρας γ', καὶ πάλιν καλέσας εἶπεν πρός με· σπεύσας ἄγαγε χάρτην καὶ μέλαν. καὶ τοῦτο

5. *μεμβρανας* N: *βεμβρανας* P^3 m^3, so P^3 auch l. 6 u. 7; m^3 geht von *αποκαλυψεως* l. 6 zu l. 15 mit folgenden Worten über *εναχθεισων* (!) *δε τουτων και της αποκαλυψεως γραφεισης ανεγνωσθη και αυτη εν τοις ωσι παντων των αδελφων συναχθεντων εις εκκλησιαν και εχαρησαν χαραν μεγαλην* | 11. *Ιω.* N: *ο Ιω.* P^3 | 12. *Ιω.* P^3: > N | *τουτο* N: > P^3 | 15. *χαραν* hier N m^3 (s. vorher): vor *παντες* P^3 | 16. *τουτο* N P^3: > m^3 | 17. *αυτο και αποθ. — εκκλησιαις* N P^3: > m^3 | *αυτο* vor *εν* P^3: > N | 18. *εδωκεν* P^3: *δεδωκε* (*δε*) m^3, *εδωκαμεν* N | *κατειχομεν* N P^3: *κατεχομεν* m^3 | 20. Abgesehn von Interpunction, Accentuation und einigen ganz gewöhnlichen Vocalvertauschungen notire ich alle Abweichungen der Hs. von obigem Druck und bezeichne jene wie immer durch P^2 | 23. *αυτω*: *αυτον* P^2

ποιήσαντός μου ἐκάθισα παρὰ τοὺς πόδας αὐτοῦ, καὶ γενομένης ἄφνω βροντῆς ἀπὸ τοῦ φόβου ἀπενεκρώθην. καὶ ὁ Ἰωάννης κρατήσας τῆς χειρός μου ἀνέστησέν με εἰρηκώς· ἃ ἀκούεις ἀπὸ τοῦ στόματός μου γράφε ἀκριβῶς. καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ εἶπεν· „ἀποκάλυψις Ἰησοῦ Χριστοῦ, ἣν ἔδωκεν ὁ θεὸς δεῖξαι τοῖς δούλοις αὐτοῦ ἃ δεῖ γενέσθαι ἐν τάχει", καὶ καθεξῆς αὐτὸς ἐλάλει κἀγὼ ἔγραφον. καὶ καθελθόντων ἡμῶν καὶ καθαρογραφηθείσης τῆς ἀποκαλύψεως ἀνεγνώσθη ἐν τῇ ἐκκλησίᾳ παντὶ τῷ λαῷ, καὶ πάντες ἐδόξαζον τὸν θεόν.

Μετὰ δὲ τὸ τελέσαι ἡμᾶς πάντα, ἐν τῷ μέλλειν ἡμᾶς πλεῦσαι ἐπὶ Ἔφεσον ἠκολούθει ἡμῖν ὄχλος πολὺς κλαίοντες καὶ ὀδυρόμενοι. ἐν δὲ τῷ κατέρχεσθαι ἡμᾶς ἐν τῇ ὁδῷ, ἔν τινι κώμῃ ἦν τις ἱερεὺς τοῦ Διὸς ὀνόματι Εὐχάρης, ὃς εἶχεν υἱὸν τυφλόν, καὶ παριόντος τοῦ Ἰωάννου καὶ διδάσκοντος αὐτοῦ τὸν ὄχλον ἔκραξεν ὁ τυφλὸς φωνῇ μεγάλῃ λέγων· ἐλέησόν με, μαθητὰ τοῦ Χριστοῦ, καὶ μὴ παρέλθῃς τὸν δοῦλόν σου, ἀλλὰ πρόσευξαι τῷ θεῷ σου περὶ ἐμοῦ, ὅπως ἀναβλέψω καὶ ἴδω τὸ πρόσωπόν σου· πάνυ γὰρ ἐφλέχθη ἡ καρδία μου τῷ φίλτρῳ τοῦ Χριστοῦ σου, ἀκούσας τὴν διδαχήν σου. σπλαγχνισθεὶς δὲ ἐπ' αὐτῷ ὁ Ἰωάννης καὶ ἁψάμενος τῶν ὀφθαλμῶν αὐτοῦ εἶπεν· ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ τοῦ θεοῦ ἔσῃ ὑγιής· καὶ εὐθέως ἀνέβλεψεν καὶ πεσὼν παρὰ τοὺς πόδας αὐτοῦ αὐτὸς καὶ ὁ πατὴρ αὐτοῦ ἐδέοντο τὴν ἐν Χριστῷ σφραγῖδα. καὶ κατηχήσας καὶ βαπτίσας αὐτοὺς πανοικί, οὕτως ἀνήλθομεν ἐν τῷ πλοίῳ πάντων θρηνούντων καὶ κοπτομένων τὴν στέρησιν αὐτοῦ. παραθέμενος δὲ αὐτοὺς τῷ κυρίῳ καὶ ἐπευξάμενος καὶ σφραγίσας τόν τε λαὸν καὶ τὴν νῆσον καὶ ἀσπασάμενος πάντας, αἰσίου ὄντος τοῦ πλοὸς ἀπεπλεύσαμεν ἐπὶ Ἔφεσον πάντων ἱσταμένων ἐν τῷ αἰγιαλῷ καὶ θρηνούντων, ἕως οὗ ἀπεκρύβημεν ἐξ ὀφθαλμῶν αὐτῶν.

Τοῦ δὲ θεοῦ κατευοδοῦντος ἡμῖν διὰ πέντε νυχθημέρων ἐφθάσαμεν εἰς Ἔφεσον. καὶ εἰσελθόντων ἡμῶν ἐν τῇ πόλει, ὡς εἶδεν ἡμᾶς ὅ τε Διοσκορίδης καὶ Δόμνος ὁ υἱὸς αὐτοῦ καὶ ἡ Ῥωμάνα καὶ οἱ λοιποὶ ἀδελφοὶ ἐχάρησαν χαρὰν μεγάλην. καὶ ὑπεδέξατο ἡμᾶς ὁ Διοσκορίδης εἰς τὸν οἶκον αὐτοῦ καὶ παραθεὶς ἡμῖν τράπεζαν, ἠγαλλιασάμεθα πανοικί. καὶ συνηγμένων τῶν ἀδελφῶν διηγήσατο αὐτοῖς ὁ Ἰωάννης πάντα ὅσα

11. *ηκολλουθη . . . πολλυς* P² | 13. *κομη* P² | *Ευχάρις* P² | 28. *αισιου*: *εσειου* P², so derselbe fol. 58 verso *εσιου ανεμου οντος* u. fol. 59 verso *εσιου οντος του πλοος* | 34. *Ρωμαννα* P²

ἐποίησεν ὁ θεὸς μεθ' ἡμῶν ἐν τῇ ἐξορίᾳ, καὶ ἀκούοντες τὰ μεγαλεῖα τοῦ θεοῦ ἐθαύμαζον καὶ ἐδόξαζον τὸν θεόν. μετὰ δὲ τρεῖς ἡμέρας ἐνεφάνισεν ἑαυτὸν ὁ Ἰωάννης τοῖς Ἐφεσίοις καὶ ἤρξατο διδάσκειν αὐτούς, καὶ οἱ μὲν ἐπείθοντο τοῖς λεγομένοις ὑπ' αὐτοῦ, οἱ δὲ μυκτηρίζοντες ἀνεχώρουν. συνηγμένων οὖν πάντων ἐν τῇ ἑορτῇ τῆς μιαρᾶς Ἀρτέμιδος καὶ τὰς θυσίας ἐπιτελούντων· τὸν γὰρ ναὸν αὐτῆς καταστραφέντα ὑπὸ Ἰωάννου ὄντων ἡμῶν ἐν τῇ ἐξορίᾳ οὗτοι πάλιν ἀνοικοδόμησαν. ὁ δὲ Ἰωάννης ἐν τῇ ἑορτῇ αὐτῶν ἔστη ἐφ' ὑψηλοῦ τόπου καὶ ἐδίδασκεν τοὺς ὄχλους ἀποστῆναι τῆς μυσαρᾶς θυσίας. οἱ δὲ οὐκ ἠνέσχοντο ἀκοῦσαι αὐτοῦ λέγοντες· τίς σε ἔφερεν ὧδε, μάγε· μὴ καὶ τοῦτον τὸν ναόν, ὃν μετὰ πολλοῦ κόπου οἰκοδομήσαμεν, βούλει καταστρέψαι, ὃν τρόπον καὶ πρότερον πεποίηκας; ὁ δὲ Ἰωάννης ἔφη πρὸς αὐτούς· οὐ μόνον ὁ ναὸς ὑμῶν ἀφίεται ἔρημος, ἀλλὰ καὶ ὑμεῖς καὶ τὰ τέκνα ὑμῶν πανολεθρίᾳ παραδοθήσεσθε, ἐὰν μὴ ἐπιγνῶτε τὸν ὄντως ὄντα θεόν, τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν. πλησθέντες δὲ θυμοῦ καὶ καταγαγόντες αὐτὸν τύπτοντες ἔσυραν ἀνηλεῶς. κείμενος δὲ ὁ ἀπόστολος τοῦ Χριστοῦ ἐπὶ τὴν γῆν προσεύξατο λέγων· κύριε Ἰησοῦ Χριστέ, καταπέσοι τὸ ἱερὸν τῆς μιαρᾶς Ἀρτέμιδος, καὶ ἔμβαλε εὐθύτητα εἰς τὰς καρδίας τοῦ λαοῦ τούτου, ἐπιγνῶναί σε, τὸν ἀληθινὸν θεὸν καὶ ὃν ἀπέστειλας υἱόν σου μονογενῆ Ἰησοῦν Χριστόν, σωτῆρα τοῦ κόσμου. καὶ εὐθέως σεισμὸς ἐγένετο καὶ βροντὴ φοβερὰ καὶ κατεστράφη ὁ ναὸς τῆς Ἀρτέμιδος ἄνω κάτω, καὶ τὰ εἴδωλα πάντα συνετρίβησαν, καὶ πλῆθος τοῦ λαοῦ ἐκ τοῦ φόβου ἀπέθανον. ἰδόντες δὲ οἱ λοιποὶ τὸ γεγονὸς εἶπον· οὐαὶ ἡμῖν, ἕως πότε παροργίζομεν τὸν θεὸν ἀνεχόμενον ἐπὶ ταῖς κακίαις ἡμῶν, μήποτε ἐν τῇ ἀπιστίᾳ ἡμῶν πανολεθρίᾳ παραπέμψει ἡμᾶς καὶ τὴν πόλιν ἡμῶν. καὶ ἐλθόντες ἅπαντες ὁμοθυμαδὸν κράζοντες καὶ λέγοντες· μηδαμῶς ἀπολλώμεθα, δοῦλε τοῦ θεοῦ, ἀλλ' εὖξαι ὑπὲρ ἡμῶν· νῦν ἔγνωμεν, ὅτι παρὰ θεοῦ ἀπεστάλης ἐπὶ σωτηρίᾳ ἡμῶν, καὶ μέγας ἐστὶν ὁ θεός, ὃν κηρύττεις, καὶ οὐκ ἔστιν θεὸς πλὴν αὐτοῦ. τότε ἀναστὰς ὁ ἀπόστολος εὐλογήσας αὐτοὺς καὶ ἱκανῶς διδάξας, καθ' ἑκάστην ἡμέραν ἐβάπτιζεν χιλιάδας καὶ ἑκατοντάδας. καὶ πάντες ἔφερον τὰ εἴδωλα αὐτῶν καὶ συνέτριβον αὐτὰ πρὸ προσώπου Ἰωάννου. προσελθὼν δὲ

9. sqq. cf oben p. 33 sq. 42 | 9. *υψηλου*: *ηψιλου* P² | 10. *μυσσαρας* P² | 11. *εφερεν*: *ηφερεν* P² | 16. *οντως*: *οντος* P² | 31. *απολλωμεθα*: sic P²

Ἰωάννης καὶ ἐπὶ τοῖς τεθνήξασιν ἀνθρώποις προσευξάμενος ἀνέστησεν αὐτούς. καὶ οὐκέτι λοιπὸν ἦν ἐν αὐτοῖς σκάνδαλον, ἀλλὰ πᾶσα ἡ πόλις ἀπὸ μικροῦ ἕως μεγάλου γεγόνασιν Χριστιανοί, οὐ μὴν ἀλλὰ καὶ πᾶσα ἡ περίχωρος.

Καὶ ἦν Ἰωάννης οἰκοδομῶν ναοὺς καὶ καταρτίζων ἱερεῖς καὶ ἐπισκόπους καὶ πρεσβυτέρους καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ. εἶθ' οὕτως ἐν τῇ Σμυρναίων πόλει ἀπελθόντων ἡμῶν πάντα τὰ εἴδωλα συνετρίβησαν τῇ δυνάμει τοῦ Χριστοῦ, καὶ καθιερώσας ναοὺς ὁ ἀπόστολος τοῦ Χριστοῦ καὶ κατηχήσας αὐτοὺς ἐβάπτισεν ἅπαντας καὶ πᾶσαν τὴν παράλιον ἐκείνην, καταλείπων ἐκεῖσε πρόεδρον Βούκολον καὶ Πολύκαρπον, τοὺς αὐτοῦ μαθητὰς καὶ Ἀνδρόνικον. καὶ ἦσαν ἐκεῖ δύο ἱερεῖς τῆς Ἀρτέμιδος, ἀδελφοὶ τυγχάνοντες σαρκικοί. συνέβη οὖν τὸν ἕνα τελευτῆσαι, καὶ δραμὼν ὁ ἕτερος πρὸς Ἰωάννην λέγων ἐν ἑαυτῷ· πάντως ἐμοῦ πιστεύοντος καὶ τὴν ἐμαυτοῦ ψυχὴν διασώσαντος οὐκ ἀντερεῖ ὁ Ἰωάννης ἀναστῆσαι νεκρὸν τὸν ἀδελφόν μου. καὶ ἡνίκα ἤγγισεν πρὸς Ἰωάννην, εἶπεν πρὸς αὐτόν· οὐ ταῦτα ἐνεθυμήθης, τέκνον; ὄντως καὶ καλὴν βουλὴν ἐποιήσω. τρόμος δε καὶ φρίκη κατέσχεν τὸν ἱερέα, ὅτι οὕτως εἶπεν αὐτῷ ῥαδίως ὁ ἀπόστολος τοῦ Χριστοῦ τὰ ἐνθυμήματα αὐτοῦ. τότε λαβόμενος αὐτοῦ τῆς χειρὸς ἀπῆλθεν ἐν ᾧ τὸ πτῶμα ἦν τοῦ τεθνηκότος, ὄχλου πολλοῦ περιόντος, καὶ κρατήσας τῆς χειρὸς αὐτοῦ εἶπεν· ἀνάστα, ὁ καθεύδων, ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου. καὶ εὐθέως ἀνέστη ὁ ἱερεὺς ὑγιής· τοῦ δὲ ὄχλου θαυμάζοντος καὶ κράζοντος „μέγας ὁ θεὸς Ἰωάννου", ἐπιλαβόμενος αὐτοῦ ὁ Ἰωάννης καὶ κατηχήσας ἐβάπτισεν εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος σὺν πολλῷ πλείονι ὄχλῳ. ἐμείναμεν δὲ ἐν ταῖς περὶξ χώραις ἔτη τέσσαρα, βαπτίζοντες καὶ καταρτίζοντες ἱερεῖς καὶ θεραπεύοντες πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν, πάντων πιστευσάντων ἀπὸ θαλάσσης ἕως θαλάσσης. καὶ μετὰ ταῦτα πάλιν ὑπεστρέψαμεν ἐν Ἐφέσῳ δοξάζοντες τὸν θεόν.

Μετὰ οὖν ἡμέρας τινὰς κατὰ θείαν ἀποκάλυψιν ἐξῆλθεν ὁ Ἰωάννης ἔν τινι κώμῃ εἰς ἐπίσκεψιν τῶν ἀδελφῶν, καὶ ἦν ἐκεῖ τις νεανίας χωρικός, νουθετούμενος πολλάκις παρὰ τοῦ ἰδίου πατρὸς, ἵνα μὴ λάβῃ τοῦ συνεργοῦ τὴν γυναῖκα· φθόνῳ

11. *παραλειον* P² | *βουκόλον* accentuirt P² | 20. *αυτω*: *αυτον* P² | 26. *αυτου*: *αυτους* P² | 31. *απο θαλασσαν εως θαλασσαν* P² | 35. *χωρικος*: *χορηκος* P²

δὲ διαβόλου κινηθείς, μὴ φέρων ὁ παῖς τὴν τοῦ πατρὸς νουθεσίαν, λακτίσας αὐτὸν ἄφνω ἔθηκεν ἐπὶ τὴν γῆν νεκρόν. τοῦτον οὖν ὁ Ἰωάννης ἰδὼν εἶπεν· ὦ κύριε, σήμερον ἕνεκεν τούτου με ἐκάλεσας ἐνθάδε. ὁ δὲ νεανίας ἰδὼν τὸν ἄωρον θάνατον τοῦ πατρὸς αὐτοῦ, προσδοκῶν συλληφθῆναι καὶ ἀντιφονευθῆναι, τὴν λύπην μὴ φέρων, ὃ ἐπεφέρετο δρέπανον τρέχων ἐν τῇ οἰκίᾳ ἠβουλήθη σφάξαι τὴν γυναῖκα, εἶθ' οὕτως ἑαυτόν. τοῦτον οὖν ἰδὼν ὁ Ἰωάννης τρέχοντα καὶ γνοὺς τῷ πνεύματι εἶπεν πρὸς αὐτόν· στῆθι, δαῖμον, καὶ ἀνάγγειλόν μοι, τί τρέχεις. ὁ δὲ παῖς τρέμων καὶ κλαίων διηγήσατο τῷ Ἰωάννῃ· ὅτι πατρὸς φονεὺς γέγονα ὁ ταλαίπωρος, καὶ ἰδοὺ διὰ τὴν πολλὴν θλῖψιν μέλλω καὶ ἣν ἐμοίχευσα γυναῖκα ἀνελεῖν καὶ ἐμαυτόν· ἀλλ' εἴ τι δύνασαι, βοήθησον ἡμῖν, μαθητὰ τοῦ Χριστοῦ. ἐὰν οὖν τοῦτον ἀναστήσῃς, ἀπὸ τοῦ λοιποῦ ἀποστήσομαι τὸ κακόν. τοῦ δὲ Ἰωάννου εἰπόντος πρὸς αὐτόν· οὐδὲ τὰς πολιὰς τοῦ πατρός σου ᾤκτειρας, ταλαίπωρε; εἰς τὸν οὐρανὸν ἀναβλέψας καὶ στενάξας εἶπεν· κύριε, σοῦ μόνου ἐστὶν τὸ ἔργον τοῦτο. καὶ κρατήσας τῆς χειρὸς τοῦ τεθνηκότος εἶπεν· ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ, τοῦ υἱοῦ τοῦ θεοῦ, ἀνάστα. καὶ εὐθέως ἀνέστη. ἰδὼν δὲ ὁ παῖς τὴν παρ' ἐλπίδα ἀναβίωσιν τοῦ πατρὸς αὐτοῦ καὶ τὴν ἑαυτοῦ σωτηρίαν, λαβὼν τὸ δρέπανον τὰ ἑαυτοῦ μόρια ἀφείλετο, καὶ δραμὼν εἰς τὴν οἰκίαν εἰς ὄψιν τῆς μοιχαλίδος αὐτοῦ ἔρριψεν αὐτὰ λέγων· διὰ σὲ πατρὸς φονεὺς καὶ ἡμῶν τῶν δύο γέγονα, καὶ ἰδοὺ ἔχεις τὰ τούτων αἴτια· ἐμὲ γὰρ ὁ θεὸς ἠλέησεν ἐπιγνῶναι αὐτὸν διὰ τοῦ δούλου αὐτοῦ Ἰωάννου. ταῦτα ἀκούσας ὁ Ἰωάννης καὶ λυπηθεὶς εἶπεν πρὸς αὐτόν· ταλαίπωρε, ὁ ὑποβάλας σε τὸν πατέρα σου φονεῦσαι δαίμων αὐτός σε ὑπέβαλεν καὶ τοῦτο ποιῆσαι. ἔδει γάρ σε οὐχὶ τοὺς τόπους αὐτῶν ἀφανίσαι, ἀλλὰ τὴν ἔννοιαν ἐκ τῆς ψυχῆς σου· οὐ γὰρ τὰ ὄργανά εἰσιν βλαπτικά, ἀλλ' ὁ νοῦς ὁ συγκαταβαίνων τῇ ἁμαρτίᾳ. μετανόησον οὖν, ἄθλιε, ἐπὶ τῇ παρανόμῳ τόλμῃ ᾗ ἐποίησας. ὁ δὲ παῖς στένων καὶ τρέμων παρεκάλει τὸν τοῦ Χριστοῦ ἀπόστολον, συγγνώμην λαβεῖν τῶν ἡμαρτημένων. ὃν λαβὼν ὁ ἀπόστολος τοῦ Χριστοῦ εἰσήγαγεν ἐν τῇ πόλει καὶ κατηχήσας καὶ βαπτίσας αὐτὸν ἅμα τοῦ πατρὸς αὐτοῦ προσήγαγεν τῇ ἐκκλησίᾳ. καὶ ἦν ὁ παῖς

1. διαβολου: διαβολω P² | 9. δαῖμον: δαιμων P² | 10. τον ιω̅ P² | 15. το κακον: sic P² | 29. τους τοπους αυτων nach P² als ob επιθυμιαι oder dergleichen vorher erwähnt wäre | 33. λαβειν: λαβων P² | 35. αυτον: αυτω P²

μεθ' ἡμῶν πάντοτε ὑπηρετῶν, ὥστε πάντας θαυμάζειν καὶ δοξάζειν τὸν θεόν.

Ἐν μιᾷ οὖν τῶν ἡμερῶν ὡς ἦν Ἰωάννης καθεζόμενος, πέρδιξ διάπτασα καὶ ἐλθοῦσα ἐκονίζετο ἔμπροσθεν αὐτοῦ· ὁ οὖν Ἰωάννης βλέπων αὐτὸ ἐθαύμαζεν. ἱερεὺς δέ τις ἐλθών, εἷς τῶν ἀκροατῶν ὤν, εἰσελθὼν πρὸς Ἰωάννην εἶδεν τὴν πέρδικα κονιζομένην ἔμπροσθεν αὐτοῦ, καὶ σκανδαλισθεὶς ἐν ἑαυτῷ ἔλεγεν· ὁ τοιοῦτος καὶ τηλικοῦτος τέρπεται ἐπὶ πέρδικος κονιαζομένης. γνοὺς δὲ ὁ Ἰωάννης τῷ πνεύματι τὴν ἐνθύμησιν αὐτοῦ εἶπεν πρὸς αὐτόν· ἄμεινον ἦν καὶ σέ, τέκνον, ὁρᾶν πέρδικα κονιζομένην καὶ μὴ εἰς αἰσχρὰς καὶ βεβήλους πράξεις μολύνεσθαι. ὁ γὰρ πάντων τὴν ἐπιστροφὴν καὶ τὴν μετάνοιαν ἀναμένων διὰ τοῦτο ἐνταῦθά σε ἤγαγεν· ἐπεὶ ἐγὼ πέρδικος κονιζομένης οὐ χρῄζω· ἡ γὰρ πέρδιξ ἡ σή ἐστιν ψυχή. ταῦτα ἀκούσας ὁ πρεσβύτης καὶ ἰδὼν ὅτι οὐκ ἔλαθεν, ἀλλὰ πάντα τὰ ἐν τῇ καρδίᾳ αὐτοῦ εἶπεν αὐτῷ ὁ ἀπόστολος τοῦ Χριστοῦ, πεσὼν ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν ἐβόα λέγων· νῦν οἶδα, ὅτι ὁ θεὸς οἰκεῖ ἔν σοι, μακάριε Ἰωάννη· καὶ μακάριος, ὅστις οὐκ ἐπείρασεν ἔν σοι τὸν θεόν. ὁ γὰρ σὲ πειράζων τὸν ἀπείραστον πειράζει. παρεκάλει δὲ αὐτὸν εὔχεσθαι ὑπὲρ αὐτοῦ, καὶ κατηχήσας αὐτὸν καὶ δοὺς κανόνας ἀπέλυσεν εἰς τὸν οἶκον αὐτοῦ δοξάζοντα τὸν ἐπὶ πάντων θεόν.

6. *ων*: ὃν P^2 | 8. *κονιαζομενης*: so nur hier P^2 cf l. 4. 6. 10. 13. Zur Sache ist zu vergleichen die ursprünglichere Gestalt dieser Sage bei Cassian (collat. XXIV, 21 Bibl. P. Max. VII, 246): Fertur beatissimus evangelista Joannes, cum perdicem manibus molliter demulceret, quendam ad se habitu venatorio venientem subito conspexisse. Qui miratus, quod vir tantae opinionis ac famae ad tam parva et humilia se oblectamenta submitteret: Tune es, inquit, ille Joannes, cuius fama insignis atque celeberrima me quoque summo desiderio tuae agnitionis illexit? cur ergo oblectamentis tam vilibus occuparis? Cui beatus Joannes: Quid est, quod manus tua gestat? At ille: Arcus, inquit. Et cur, ait, non eum tensum ubique semper circumfers? Cui ille respondit: Non oportet, ne iugi curvamine rigoris fortitudo laxata mollescat atque depereat, et cum oportuerit ut fortiora in aliquam feram spicula dirigantur, rigore per nimietatem continuae tensionis amisso violentior ictus non possit emitti. Nec nostri, inquit beatus Joannes, animi te offendat, o iuvenis, tam parva haec brevisque laxatio, quae (lies qui) nisi remissione quadam rigorem intentionis suae interdum relevet ac relaxet, irremisso vigore lentescens virtutis spiritus, cum necessitas poscit, obsecundare non poterit. — Thilo acta Jo. p. 9 fordert und Fabric. II, 775 schreibt *rigore* statt *vigore* vor *lentescens* und beide in derselben Zeile *intensionis*. S. übrigens m. Einl. § 9 | 22. *δοξαζοντα*: *δοξαζων* P^2

Διετρίψαμεν δὲ ἐν Ἐφέσῳ μετὰ τὸ ἐλθεῖν ἡμᾶς ἀπὸ τῆς ἐξορίας ἔτη κς΄· ἐποιήσαμεν δὲ ἐν τῇ Πάτμῳ νήσῳ ἐξόριστοι ἔτη ιε΄, πρὸ δὲ τῆς ἐξορίας τὸ πρὶν ἐν Ἐφέσῳ ἔτη θ΄, καὶ ἐν Ῥώμῃ ἔτη δ΄. ἦν δὲ ὁ Ἰωάννης, ὅτε παρεγενόμεθα ἀπὸ Ἱερουσαλὴμ εἰς Ἔφεσον, ἐτῶν ν΄, μηνῶν ἑπτά, ἐγὼ δὲ Πρόχορος ἤμην ἐτῶν λ΄, μηνῶν πέντε, ὡς εἶναι τὸν Ἰωάννην ἐν βαθυτάτῳ γήρᾳ ὡσεὶ ἐτῶν ρδ΄, μηνῶν ἑπτά. ὡς δὲ ἔγνω τὴν μετάστασιν αὐτοῦ δι᾽ ἀποκαλύψεως κυρίου, κυριακῆς ἡμέρας οὔσης συνὼν τοῖς ἀδελφοῖς, μετὰ τὴν θείαν καὶ φρικτὴν μυσταγωγίαν καὶ τὴν κλάσιν τοῦ ἄρτου πάντων συνηγμένων εἶπεν· ἐπειδή, ὦ τεκνία μου, ὁ χρόνος τῆς ζωῆς μου βραχὺς καὶ ὀλιγοστός ἐστιν, καὶ μέλλω πρὸς τὸν κύριόν μου πορεύεσθαι, στηρίζεσθε ἐν τῇ πίστει καὶ ἀγάπῃ τοῦ Χριστοῦ, καὶ ἃ εἴδετε παρ᾽ ἐμοῦ ἐπιτελούμενα καὶ παρελάβετε μὴ ἐπιλαθέσθε, ἵνα καγὼ ἐν τῇ ἀναστάσει τοῦ κυρίου εἴπω· ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ θεός. μνημονεύετε, ὅσας δι᾽ ἐμοῦ ὑμῖν παρέσχεν ὁ θεὸς ἀντιλήψεις, χαρίσματα ἰαμάτων, κυβερνήσεις, γνώσεις, κοινωνίας, πίστεις, διδασκαλίας, δωρεὰς ἰαμάτων, καὶ γίνεσθε χρηστοὶ καὶ οἰκτίρμονες, ἀλλήλους οἰκοδομοῦντες, ἀναστρεφόμενοι ἐν πάσῃ ἐγκρατείᾳ καὶ σεμνότητι. ταῦτα λέγω πρὸς ὑμᾶς, ἀδελφοί· ἤδη πρὸς τὸ προκείμενόν μοι ἔργον πορεύομαι. καὶ εἰ καὶ τῷ σώματι ἀποληφθῶ ἀφ᾽ ὑμῶν, ἀλλὰ τῷ πνεύματι οὐκ ἀποληφθήσομαι. ἔχετε τοῦ θεοῦ ἡμῶν τὰ ἐνέχυρα, ἔχετε τοὺς ἀρραβῶνας τῆς ἀγαθωσύνης αὐτοῦ, ἔχετε αὐτὸν ἐν μέσῳ ὑμῶν, πάντοτε καλῶς πολιτευομένων ὑμῶν. ταῦτα καὶ πλείονα εἰπόντος αὐτοῦ, καὶ τοῦ λαοῦ τοῖς δάκρυσιν τὰ ἐδάφη βρεχόντων, εἶπεν πρὸς Εὐτύχην τὸν καὶ Οὔηρον· τέκνον Εὐτύχη, σὲ καθίστημι μετὰ θεοῦ πρωτόθρονον καὶ ποιμένα τοῦ λαοῦ τούτου. βλέπε, τέκνον Οὔηρε, πῶς μέλλεις ποιμᾶναι τὸ ποίμνι [ον] . . . . δὲ τῷ βίῳ ὄψεσθαί με. ἡμῶν δὲ βρεχόντων τὴν γῆν τοῖς δάκρυσιν καὶ ἐπισύραντες γῆν ἐκαλύψαμεν αὐτὸν ἕως τοῦ τραχήλου. καὶ πάλιν εἶπεν πρὸς ἡμᾶς· ἐνέγκαντες ὀθόνην καλύψατε τὸ πρόσωπόν μου, καὶ ἐπισύραντες γῆν τὴν ἐμὴν μητέρα καλύψατέ με. καὶ ἐνέγκαντες ὀθόνην ἐσκεπάσαμεν τὸ πρόσωπον αὐτοῦ . . . .

6. *γηρᾳ*: *γειρη* P² | 13. *ειδετε*: *ιδεται* P² | 18. *χρηστοι*: *χριστοι* P² | 20. *ηδη*: *ειδη* P² | 22. *απολειφθω — απολειφθησομαι* P² | 23. *αραβωνας* P² | 24. *αγαθοσυνης* P² | 25. *ταυτα και*: *και ταυτα* P² | 26. *τα*: *τω* P² | *Εὐτύχην τον και*: *Ευτυχὴ και τον* P² cf l. 27 u. Sophocles glossary of later Greek p. 82 | 29. *ποιμνι*: so schliesst fol. 82 vers. Dass zwischen fol. 82 u. 83 ein Blatt fehle, bemerkte schon Thilo Acta Thomae proll. LXXX

εἰρηκώς· τὸ τελευταῖον κραταιῶς ἀσπάσασθέ με, ὅτι οὐκέτι ὄψεσθέ με ἐν τῷδε τῷ βίῳ. καὶ μετὰ τὸ ἀσπάσασθαι αὐτὸν καὶ κλαῦσαι ἱκανῶς, ἐπισύραντες γῆν ἐκαλύψαμεν αὐτόν, καὶ οὕτως ἀπεκρύβη ἀφ' ἡμῶν, καὶ οὐκέτι εἴδομεν αὐτόν. οἱ δὲ ἀδελφοὶ ἀκούσαντες ἔκλαυσαν πικρῶς. καὶ τῇ αὔριον ἐξελθόντες πάντες μετὰ λιτῆς ἆραι τὸ σῶμα αὐτοῦ, ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ ὅπως κατατεθῇ, ἀνοίξαντες τὸ ὄρυγμα οὐδὲν εὕρομεν, καὶ μνησθέντες τοῦ Χριστοῦ εἰρηκότος πρὸς Πέτρον· „ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρὸς σέ“; ὑπεστρέψαμεν ἐν τῇ πόλει δοξάζοντες πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

1. *ειρηκως*: ohne Lücke vorher P² | 6. *λιτης*: *λητης* P², so lese ich deutlich; Tischendorf copirte und notirte als unverständlich *γη της*. Ueber *λιτη* s. Ducange 817.



II.

Die Wanderungen des Johannes

nach

Leucius Charinus.

Nachrichten und Urtheile der Alten über Leucius und sein Werk.

I. Eusebius (h. e. III, 25) beschreibt im Gegensatz sowohl zu den unbedingt kanonischen Schriften des N. Testaments (*ὁμολογούμενα, ἀνωμολογημένα, ἐνδιάθηκα*), als auch zu den nur von einigen Kirchen und Schriftstellern ebenso oder ähnlich geschätzten Schriften (*ἀντιλεγόμενα*) eine dritte Classe mit folgenden Worten: *τὰς ὀνόματι τῶν ἀποστόλων πρὸς τῶν αἱρετικῶν προφερομένας, ἤτοι ὡς Πέτρου καὶ Θωμᾶ καὶ Ματθία ἢ καί τινων παρὰ τούτους ἄλλων εὐαγγέλια περιεχούσας, ἢ ὡς Ἀνδρέου καὶ Ἰωάννου καὶ τῶν ἄλλων ἀποστόλων πράξεις, ὧν οὐδὲν οὐδαμῶς ἐν συγγράμματι τῶν κατὰ διαδοχὰς ἐκκλησιαστικῶν τις ἀνὴρ εἰς μνήμην ἀγαγεῖν ἠξίωσεν. πόρρω δέ που καὶ ὁ τῆς φράσεως παρὰ τὸ ἦθος τὸ ἀποστολικὸν ἐναλάττει χαρακτήρ, ἥ τε γνώμη καὶ ἡ τῶν ἐν αὐτοῖς φερομένων προαίρεσις πλεῖστον ὅσον τῆς ἀληθοῦς ὀρθοδοξίας ἀπάδουσα, ὅτι δὴ αἱρετικῶν ἀνδρῶν ἀναπλάσματα τυγχάνει σαφῶς παρίστησιν, ὅθεν οὐδὲ ἐν νόθοις αὐτὰ κατατακτέον, ἀλλ' ὡς ἄτοπα πάντη καὶ δυσσεβῆ παραιτητέον.*

II. 1. Epiphanius haer. 47, 1 (*κατὰ Ἐγκρατιτῶν*): *κέχρηνται δὲ γραφαῖς πρωτοτύπως ταῖς λεγομέναις Ἀνδρέου καὶ*

1. Die Gründe, aus welchen die hier zusammengestellten Angaben, auch diejenigen, welche den Namen den Leucius nicht enthalten oder nicht unmittelbar von einem unter seinem Namen verbreiteten Buch sagen, auf die Apostelgeschichten und insbesondre die Johannesacten des Leucius zu beziehen sind, werden in der Einleitung dargelegt | 8. *η* vor *ως* nach cod. A (Paris. 1437) Vales., auch mehreren Hss. bei Lämmer: > die andern | 9. *πραξεις* A Val. Lämmer, dessen krit. Note zu *διαδοχας* hieher zu gehören scheint: *τας* × die andern | 14. *απαδουσα* A Rufinus und die Mehrzahl der Hss.: *αποδεουσα* andere | 18. Mit Unrecht wollte Fabricius (cod. pseud. N. Ti II, 765, ed. 2) auch in Epiphan. haer. 30, 23 eine Spur von apokryphischen Johannesacten und zwar ebjonitischen Ursprungs finden, wogegen Thilo (Osterprogramm, Fragm.

Ἰωάννου πράξεσι καὶ Θωμᾶ καὶ ἀποκρύφοις τισὶ καὶ οἷς βούλονται λόγοις τῆς παλαιᾶς διαθήκης. Cf. haer. 45, 4 (*κατὰ Σευηριανῶν*); 61, 1 (*κατὰ Ἀποστολικῶν*): *καὶ οἱ μὲν Καθαροὶ ταῖς ῥηταῖς μόνον γραφαῖς κέχρηνται, οὗτοι δὲ ταῖς λεγομέναις πράξεσιν Ἀνδρέου τε καὶ Θωμᾶ τὸ πλεῖστον ἐπερείδονται, παντάπασιν ἀλλότριοι τοῦ κανόνος τοῦ ἐκκλησιαστικοῦ ὑπάρχοντες.* — haer. 63, 2 (*κατὰ Ὠριγενιανῶν τῶν πρώτων τῶν καὶ αἰσχρῶν*): *κέχρηνται δὲ, ὡς ἔφην, διαφόροις γραφαῖς παλαιᾶς καὶ νέας διαθήκης καὶ ἀποκρύφοις τισὶ, μάλιστα ταῖς λεγομέναις πράξεσιν Ἀνδρέου καὶ τῶν ἄλλων.*

2. In seiner ausführlichen Erörterung über die Ergänzung der synoptischen Evangelien durch das johanneische sagt Epiphanius (haer. 51, 6 Petav. 427 C; Oehler I, 2, 56; Dindorf II, 456): *Ματθαίου μὲν γὰρ κεκηρυχότος τὸν Χριστὸν γεννηθέντα καὶ ἐκ πνεύματος ἁγίου συλληφθέντα, ἐκ σπέρματος Δαβὶδ καὶ Ἀβραὰμ κατὰ σάρκα οἰκονομηθέντα, πλάνη τισὶ γεγένηται τοῖς μὴ νενοηκόσιν — οὐ τοῦ εὐαγγελίου αἰτίου ὄντος αὐτοῖς εἰς τὸ πλανηθῆναι, ἀλλὰ τῆς αὐτῶν διανοίας πεπλανημένης — εἰς παράστασιν τῆς περὶ τῶν αὐτῶν πληροφορίας τὰ ἀπὸ τοῦ εὐαγγελίου κακῇ ὑπονοίᾳ ἐπινενοημένα. Ἔνθεν γὰρ*

actuum S. Joannis, a Leucio Charino conscriptorum, Halle 1847 p. 4) nicht entschieden genug sich erklärt. Der Ausdruck des Epiphanius, die Ebjoniten zählten auch den Namen Johannes mit auf (*ἐγκαταλέγουσιν*) unter den Namen der Apostel, unter deren Namen sie Bücher erdichtet haben, spricht durchaus dagegen, dass sie ein Buch besassen, welches speciell den Johannes zum Verf. oder gar zum Gegenstand hatte. Wäre ein apostelgeschichtliches Werk gemeint, was nach vielen Analogien so ungenau ausgedrückt sein könnte, so wäre nur an das haer. 30, 16 erwähnte zu denken und aus unsrer Stelle zu entnehmen, dass darin auch Johannes erwähnt worden sei, was sich freilich von selbst versteht (cf. Clem. recogn. I, 57). Handelt es sich aber, wie der Ausdruck zunächst besagt, um Bücher, welche von Aposteln geschrieben sein sollen, so kann nur jenes ebjonitische Evangelium gemeint sein, in welchem die 12 Apostel das „Wir" der Erzähler sind, und Jesus selbst in der Aufzählung der von ihm erwählten Apostel den Johannes zuerst nennt (haer. 30, 13 cf. Hilgenfeld, Nov. T. extra canon. IV, 33. 35). Auf diesen *κατάλογος* blickt Epiphanias an der späteren Stelle zurück, hat also überhaupt dort vor allem, wenn nicht ausschliesslich, jenes *evangelium iuxta duodecim apostolos* im Sinn | 17. *ου του ευαγγελιου κτλ.*: durch Auffassung dieses Satzes als Parenthese (Oehler) ist freilich der Satz noch nicht klar, und wahrscheinlich etwas ausgefallen (Petavius) | 20. *κακη . . επινενοημενα*: cod. Ven. *καλη . . νενοημενα*

οἱ περὶ Κήρινθον καὶ Ἐβίωνα ψιλὸν τὸν ἄνθρωπον κατέσχον καὶ Μήρινθον καὶ Κλεόβιον εἴτ' οὖν Κλεόβουλον καὶ Κλαύδιον καὶ Δημᾶν καὶ Ἑρμογένην, τοὺς ἀγαπήσαντας τὸν ἐνταῦθα αἰῶνα καὶ καταλείψαντας τὴν ὁδὸν τῆς ἀληθείας. ἀντιλέγοντες γὰρ τοῖς τοῦ κυρίου μαθηταῖς κατ' ἐκεῖνο καιροῦ, ἀπὸ τῆς κατὰ τὸν Ἁβραὰμ καὶ Δαβὶδ γενεαλογίας τὴν αὐτῶν ἄνοιαν παριστᾶν ἐπειρῶντο, οὐ καλῶς μὲν οἰόμενοι, πλὴν ἐντεῦθεν τὴν πρόφασιν θηρώμενοι. ἀντελέγοντο γὰρ πολλάκις ὑπὸ τοῦ ἁγίου Ἰωάννου καὶ τῶν ἀμφ' αὐτόν, Λευκίου καὶ ἄλλων πολλῶν. παρατρίψασα δὲ ἑαυτῆς τὸ μετώπιον ἡ ἀναισχυντία ἑαυτῇ κακὰ ἐπισπάσασθαι ἐφιλοτιμήσατο.

III. *Τοῦ ἁγίου Ἀμφιλοχίου ἐπισκόπου Ἰκονίου περὶ τῶν ψευδεπιγράφων τῶν παρὰ αἱρετικοῖς, οὗ ἡ ἀρχή· „Δίκαιον δὲ ἡγησάμεθα πᾶσαν αὐτῶν γυμνῶσαι τὴν ἀσέβειαν καὶ δημοσιεῦσαι αὐτῶν τὴν πλάνην, ἐπειδὴ καὶ βιβλία τινὰ προβάλλονται ἐπιγραφὰς ἔχοντα τῶν ἀποστόλων, δι' ὧν ἁπλουστέρους ἐξαπατῶσι". καὶ μετ' ὀλίγα· „Δείξομεν γὰρ τὰ βιβλία ταῦτα, ἃ προφέρουσιν ἡμῖν οἱ ἀποστάται τῆς ἐκκλησίας, οὐχὶ τῶν ἀποστόλων πράξεις, ἀλλὰ δαιμόνων συγγράμματα". καὶ μεθ' ἕτερα· „Ταῦτα μὲν ὁ ἀπόστολος Ἰωάννης οὐκ ἂν εἶπεν, ὁ γράψας ἐν τῷ εὐαγγελίῳ, ὅτι ὁ κύριος ἀπὸ τοῦ σταυροῦ λέγει· ἰδοὺ ὁ υἱός σου, ὡς καὶ ἀπὸ τῆς ἡμέρας ἐκείνης λαβεῖν τὸν ἅγιον Ἰωάννην τὴν Μαρίαν εἰς τὰ ἴδια. πῶς ἐνταῦθα λέγει μὴ παρεῖναι; ἀλλ' οὐδὲν ξένον· ὥσπερ γὰρ ὁ κύριος ἀλήθειά ἐστιν, οὕτως ὁ διάβολος ψεύστης τυγχάνει. ἐκεῖνος γὰρ ψεύστης*

1. *τον*: *αυτον* Dindorf nach Ven. | 5. *κυριου*: *Χριστου* Dind. nach Ven. | 7. *ου καλως*: *ουχ αγνως* Ven. | 9. *αυτον* Oehler, Dind. nach Ven.: *αυτων* andere | *Λευκιου*: *Λουκιου* Dind. ohne Rechtfertigung | 10. *μετωπιον*: *μετωπον* Dind. nach Ven. | 11. *ἑαυτῇ* (geschr. *ἑαυτὴ*) *κ. επισπασασθαι*: *τα εαυτης κ. επισπασθαι* Dind. nach Ven. | 12. Sammt der Ueberschrift aus den Acten der 2. Nicänischen Synode v. J. 787, 5. Sitzung, entnommen (Acta Concil. ed. Harduinus IV, 302 cf. Mansi XIII, 176) | 17—19. *και μετ' ολιγα* — *συγγραμματα* fehlt in der Uebersetzung des Anastasius, findet sich dagegen ausser im gedruckten griech. Text in der aus einer anderen griechischen Hs. angefertigten lat. Uebersetzung des Gybertus Longolius bei Harduin l. l. 668; Mansi l. l. 640. S. über diese Version Harduin l. l. p. 529. 530 und Thilo im Osterprogramm von 1847 p. 13 | 23. Amphilochius bezieht sich auf die Stelle des unten mitgetheilten Fragm. II, wo dem Johannes zur Zeit der Kreuzigung Jesu dieser in einer Höhle erscheint | *λεγει*, so auch Anast.: *dicitur* Longolius

ἐστὶ καὶ πατὴρ αὐτοῦ· καὶ ὅταν λαλῇ τὸ ψεῦδος, ἐκ τῶν ἰδίων λαλεῖ. καὶ ταῦτα μὲν περὶ τοῦ ψεύδους“.

IV. Philaster Brixiensis de haer. c. 88: Scripturae autem absconditae id est apocrypha, etsi legi debent morum causa a perfectis, non ab omnibus debent, quia non intelligentes multa addiderunt et tulerunt qnae voluerunt haeretici. Habent Manichaei apocrypha beati Andreae apostoli, id est actus quos fecit veniens de Ponto in Graeciam, quos conscripserunt tunc discipuli sequentes beatum apostolum; unde et habent Manichaei et alii tales Andreae beati et Joannis actus evangelistae beati et Petri similiter apostoli et Pauli pariter apostoli, in quibus quia signa fecerunt magna et prodigia, ut pecudes et canes et bestiae loquerentur etiam, et animas hominum tales velut canum et pecudum similes imputaverunt esse haeretici perditi.

V. Pacianus Barcelonensis in ep. III, 2 contra Novatianos (Gallandi bibl. VII, 257): Et primum hi plurimis nituntur auctoribus; nam puto et Graecus Blastus ipsorum est; Theodotus quoque et Praxeas vestros aliquando docuere, ipsi illi Phryges nobiliores, qui se animatos mentiuntur a Leucio, se institutos a Proculo gloriantur.

VI. Hieronymus 1. Comm. in Matth. praef. sagt er über

4. *debent* nach A, der einzigen vorhandenen Hs.: Oehler nach den früheren Auszg. × *legi* | 5. *quia* A Fabric. Oehler: *qui* andere | 6. *Habent* Oehler: *nam* die andern | 10. *et alii:* davor interpungirt Oehler falsch; wahrscheinlich gehört auch *tales* nicht zu dem folgenden *actus* sondern zu *alii* d. h. andere derartige Häretiker wie z. B. die Priscillianisten | 13. *et: eo* Oehler's Conjectur | 21. Hieron. opp. ed. Vallarsi (Quartausg. v. 1769) vol. VII, 5 sq. cf. de vir. ill. 9 (vol. II, 843; ed. Herding p. 14: *Johannes apostolus ... novissime omnium scripsit evangelium, rogatus ab Asiae episcopis, adversus Cerinthum aliosque haereticos et maxime tunc Ebionitarum dogma consurgens, qui asserunt Christum ante Mariam non fuisse)* cf. Canon Murat. l. 9—16; Clem. Alex. hypotyp. bei Eus. h. e. VI, 14, 7; Victorini Petabon scholia in apocal. (Gallandi, Bibl. P. ed. II, Venet. 1788, IV, 59: *cum enim essent Valentinus, Cherintus et Ebion et ceteri* [!] *scholae Satanae diffusi per orbem, convenerunt ad illum de finitimis provinciis omnes episcopi et compulerunt eum, ut ėt ipse testimonium conscriberet* cf. die andere Recension dieses Commentars Bibl. Maxima III, 418 C); s. ferner den unten excerpirten augustinischen oder pseudoaugustinischen Tractat (Mai, Nova P. Bibl. I, 1, 381) und den vor Augustins Tractaten zum Ev. Joh. gedruckten Prolog (ed. Ven. III vol. IV p. 382: *inter ipsos autem evangeliorum scriptores Johannes eminet in divinorum mysteriorum profun-*

Johannes: Ultimus Joannes apostolus et evangelista, quem Jesus amavit plurimum, qui supra pectus domini recumbens purissima doctrinarum fluenta potavit, et qui solus de cruce meruit audire „Ecce mater tua“. Is cum esset in Asia et iam tunc haereticorum semina pullularent, Cerinthi, Ebionis et caeterorum qui negant Christum in carne venisse, quos et ipse in epistola sua Antichristos vocat et apostolus Paulus frequenter percutit, coactus est ab omnibus paene tunc Asiae episcopis et multarum ecclesiarum legationibus de divinitate salvatoris altius scribere et ad ipsum, ut ita dicam, dei verbum non tam audaci quam felici temeritate prorumpere; ut ecclesiastica narrat historia, cum a fratribus cogeretur, ut scriberet, ita facturum se respondisse, si indicto ieiunio in commune omnes deum deprecarentur, quo expleto relevatione saturatus in illud prooemium caelo veniens eructavit: In principio erat verbum etc.

2. Comm. in Matth. l. III (vol. VII, 655 sq.) zu c. 20, 23: Quaeritur, quomodo calicem martyrii filii Zebedaei, Jacobus videlicet et Joannes biberint, cum scriptura narret Jacobum tantum apostolum ab Herode capite truncatum, Joannes autem propria morte vitam finierit. Sed si legamus ecclesiasticas

ditate, qui a tempore dominicae adscensionis per annos sexaginta quinque verbum dei absque adminiculo scribendi usque ad ultima Domitiani praedicavit tempora. Sed occiso Domitiano, cum permittente Nerva de exsilio rediisset Ephesum, compulsus ab episcopis Asiae de coaeterna patri divinitate Christi scripsit adversus haereticos, qui eo absente irruperant in eius ecclesias, qui Christum ante Mariam fuisse negabant). S. auch das Buch des sogen. Isid. Hispal. de vita et obitu utriusque T. Sanctorum (Monum. Patr. Orthodoxogr. Basil. 1569, 2. Theil p. 598) und den damit fast identischen Prolog in Bibl. Casinensis III, 2, 38; ferner Primas. comm. in apocal. lib. I prooem. (Maxima P. Bibl. X, 288). Die Vorrede zu den vier Evv. im cod. Amiatinus ed. Tischendorf p. 8 sq. ist identisch mit der oben excerpirten Vorrede des Hieron. zum Matthäuscommentar mit wenigen Varianten. S. auch den Prolog zu einer Catene des Claudius von Turin bei Mai, Nova P. Bibl. I, 502 | 5. *pullularent* Vall.: *pullulassent* Amiat. | *Hebionis* Amiat. | 11. *ut* Amiat. u. 2 codd. Palatini bei Vall.: *et* Vall., *unde et* andere codd. und ältere edd. | 12. *se* Vall.: > Am. | 13. *deprecarentur* Am. u. codd. bei Vall.: *precarentur* Vall. | 20. cf. Tertull. de praescr. 36, ferner den unten excerpirten Tractat des Augustin (Mai Nova P. Bibl. I, 1, 379); Abdias, hist. ap. V, 2 (Fabric. Cod. ps. N. T. II, 534: . . *proconsul iussit eum velut rebellem in dolio ferventis olei mergi, qui statim ut coniectus in aeneo est, veluti athleta, unctus non adustus de vase exiit);* die Erweiterung des Mellitus (im Druck des Florentinius, wiederholt bei Fabric. III, 606 fehlt dies),

historias, in quibus fertur, quod et ipse propter martyrium sit missus in ferventis olei dolium, et inde ad suscipiendam coronam Christi athleta processerit, statimque relegatus in Pathmos insulam sit, videbimus martyrio animum non defuisse et bibisse calicem confessionis.

3. Comm. in Jes. l. XV (vol. IV, 658) zu Jes. 56, 4 sq.: Talem fuisse eunuchum, quem Jesus amavit plurimum, evangelistam Joannem, ecclesiasticae tradunt historiae, qui recubuit super pectus Jesu, qui Petro tardius ambulante elatus virginitatis alis cucurrit ad dominum, qui in secreta divinae se nativitatis immergens ausus est dicere, quod cuncta saecula nesciebant: In principio erat verbum etc.

4. Adv. Jovin. 1, 26 (vol. II, 278): Possumus autem de Petro dicere, quod habuerit socrum eo tempore quo credidit et uxorem iam non habuerit, quamquam legatur in *περιόδοις* et uxor eius et filia; sed nunc nobis de canone omne certamen est. . . . . Et tamen Joannes unus ex discipulis, qui minimus traditur fuisse inter apostolos et quem fides Christi virginem repererat, virgo permansit et ideo plus amatur a domino et recumbit super pectus Jesu . . . . . . (Nach Anführung von Joh. 21, 22:) Ex quo ostenditur virginitatem non mori nec sordes nuptiarum abluere cruore martyrii, sed manere cum Christo et dormitionem eius transitum esse, non mortem . . . . Ut autem sciamus Joannem tunc fuisse puerum, manifestissime docent ecclesiasticae historiae, quod usque ad Traiani vixerit

welche sich im cod. Casin. 99 (Bibl. Casin. II, 2 [Florileg.], p. 67 n. 1) findet, und die viel ausführlichere, welche der cod. Casin. 101 (l. l. p. 68, an zwei Stellen) an derselben Stelle einschaltet; sodann den lateinischen Prochorus (Bibl. Max II, 1, 52) und Victor von Capua in seinen Respons. capit. (Iren. quinque libr. ed. Feuard. p. 240 sq. cf Patr. apost. opp. unserer Ausg. II p. XLVII; denn dass die dem dortigen Fragment des Polykarp folgenden Worte *legitur et in dolio ferventis olei pro nomine Christi beatus Johannes fuisse demersus* nicht dem Polykarp, sondern dem Victor angehören, ist nicht erst hier zu beweisen s. Patr. ap. II, 171 Anm. | 7. cf Frg. VI der Leuciusacten = Tischend. Acta apost. apocr. p. 275. Tertull. de monog. 17: *Joannes aliqui Christi spado* | 18. Vgl. die aus August. tract. 124 in Jo. u. dem Sermo aus Mai, Nova P. Bibl. I, 378 unten mitgetheilten und dazu citirten Stellen, und etwa noch Hieron. ep. ad Principiam (Vallarsi I, 955) | 25 Comment. in Daniel 9 (Vallarsi V, 690) findet sich Aehnliches, aber nur in einem Referat aus Euseb. ecl. prophet. III, 26 (ed. Gaisford p. 164). Es sind

imperium, id est post passionem domini sexagesimo octavo anno dormierit, quod et nos in libro de illustribus viris breviter perstrinximus . . . Refert autem Tertullianus, quod a Nerone missus in ferventis olei dolium purior et vegetior exiverit quam intraverit. . . . Joannes vero noster quasi aquila ad superna volat et ad ipsum patrem pervenit dicens „in principio erat verbum“ etc. Exposuit virginitas, quod nuptiae scire non poterant, et ut brevi sermone multa comprehendam doceamque, cuius privilegii sit Joannes, immo in Joanne virginitas, a domino virgine mater virgo virgini discipulo commendatur.

5. Pseudohieronymus in der Dedication des Buchs de nativitate S. Mariae an Chromatius und Heliodorus (Vallarsi XI, 2, 382) sagt von diesem angeblich von Matthaeus hebräisch geschriebenem Buch: Sed factum est, ut a Manichaei discipulo nomine Seleuco, qui etiam apostolorum gesta falso sermone conscripsit, hic liber editus non aedificationi, sed destructioni materiam exhibuerit, et quod talis probaretur in synodo, cui merito aures in ecclesia non paterent.

Ferner in c. 1: Quidam namque Seleucus, qui passiones apostolorum conscripsit, hunc libellum composuit. Sed sicut de virtutibus eorum et miraculis per eos factis vera dixit, de doctrina vero eorum plura mentitus est, ita et hic multa non vera de corde suo confinxit.

VI. Augustinus. 1. De actis cum Felice Manichao II, 6 (tom. X, 586): Habetis etiam hoc in scripturis apocryphis, quas canon quidem catholicus non admittit, vobis autem tanto graviores sunt, quanto a catholico canone secluduntur. Aliquid

auch nur Eusebs dortige Worte καὶ γὰρ οὖν ἐκ τῶν ἱστοριῶν δείκνυται, welche Hieronymus hier durch *tradentibus ecclesiasticis historiis* wiedergiebt und erweitert | 3. Tertull. de praescr. 36. Der Ausdruck entspricht aber nicht dem des Tertullian, der von der römischen Kirche sagt, *ubi apostolus Johannes, posteaquam in oleum igneum demersus nihil passus est, in insulam relegatur*, sondern dem des Hieronymus selbst s. p. 200, 2 und der anderen dort citirten Abendländer | *a Nerone* haben nach Vall. mss. omnes et vetus editio: das übliche *Romae* ist also nur Conjectur | 9. Cf das aus Augustin und einem angeblich augustinischen Tractat unten p. 205, 34; 206, 7 und in den Noten dazu Citirte | 11. Ueber andere Verbindungen des Namens Leucius oder Seleucus mit apokryphischer Literatur s. noch Thilo, cod. apocr. p. CVII; CVIII not. 1; CXIV | 24. Ich citire Augustin nach der Editio tertia Veneta cum supplementis nuper Vindobonae repertis. Bassani 1797. voll. 18. 4°

etiam inde commemorem, cuius ego auctoritate non teneor, sed tu convinceris. In actibus scriptis a Leucio, quos tamquam actus apostolorum scribit, habes ita positum: „Etenim speciosa figmenta et ostentatio simulata et coactio visibilium nec quidem ex propria natura procedunt, sed ex eo homine, qui per se ipsum deterior factus est per seductionem“.

2. Contra advers. legis et prophet. I, 20 (tom. X, 684): Sane de apocryphis iste posuit testimonia, quae sub nominibus apostolorum Andreae Johannisque conscripta sunt; quae si illorum essent, recepta essent ab ecclesia, quae ab illorum temporibus per episcoporum successiones certissimas usque ad nostra et deinceps tempora perseverat etc.

3. Contra Faustum XXII, 79 (tom. X, 490): Legunt scripturas apocryphas Manichaei, a nescio quibus sutoribus fabularum sub apostolorum nomine scriptas, quae suorum scriptorum temporibus in auctoritatem sanctae ecclesiae recipi mererentur, si sancti et docti homines, qui tunc in hac vita erant et examinare talia poterant, eos vera locutos esse cognoscerent. Ibi tamen legunt, apostolum Thomam . . . . Utrum illa vera sit

